ἘΠΕΤΗΡΙΣ

ἙΤΑΙΡΕΙΑΣ ΒΥΖΑΝΤΙΝΩΝ ΣΠΟΥΔΩΝ

ἜΤΟΣ ΙΒ'

Ἐβραβεύθη ὑπὸ τῆς Ἀκαδημίας Ἀθηνῶν καὶ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς ἐνίσχυσιν τῶν Ἑλληνικῶν Σπουδῶν.





ἈΘΗΝΑΙ 1936

ΤΥΠ. "ΕΣΤΙΑ,, 7586

ΠΕΡΙ ΤΟΥ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΑΓΙΟΥ ΦΩΤΟΣ

Ἐν τῷ ὑπ' ἀριθ. 1457 χειρογράφῳ τῆς ἡμετέρας Ἐθνικῆς Βιβλιοθήκης ἀπὸ σελίδος 1648-1664 εὑρίσκομεν ἀξιοσπούδαστον διατριβὴν περὶ τοῦ ἐν Ἱεροσολύμοις ἁγίου φωτὸς ὑπὸ τὴν ἐπιγραφὴν «Περὶ τοῦ ἐπιταφίου φωτός».

Ὁ κῶδιξ ὑπ' ἀριθμὸν 1457 μετὰ τοῦ ὑπ' ἀριθμὸν 1458 καὶ τρίτου τινὸς ἀπολεσθέντος[1], ἀποτελοῦσι νομοκανονικὸν ἔργον, γραφέν, κατὰ πᾶσαν πιθανότητα, ὑπὸ τοῦ Νεοφύτου Καυσοκαλυβίτου, ὡς ἀπέδειξα ἐν τῇ διατριβῇ μου «Ἐκ τῶν νομοκανονικῶν χειρογράφων τῆς βιβλιοθήκης τοῦ Πανεπιστημίου τὰ ὑπ' ἀριθμὸν 1457 καὶ 1458», τῇ δημοσιευθείσῃ ἐν τῇ ἑβδομηκονταπενταετηρίδι τῆς Ριζαρείου ἐκκλησιαστικῆς σχολῆς[2].

Ἀσχέτως πρὸς τὸ περιεχόμενον τοῦ νομοκανονικοῦ τούτου ἔργου παρεντίθεται ἀπὸ σελίδος 1648-1664 ἡ ἀνωτέρω μνημονευθεῖσα διατριβὴ περὶ τοῦ ἐπιταφίου φωτὸς διακόπτουσα οὕτω τὴν συνέχειαν τοῦ νομοκάνονος, οὗτινος ἡ συνέχεια[3] τῆς σελίδος 1647 πρέπει νὰ ζητηθῇ εἰς τὴν σελίδα 1666.

Ὡς φαίνεται ἡ ἀρίθμησις τοῦ νομοκάνονος ἐγένετο μετὰ ταῦτα, καθ' ἣν δηλαδὴ ἐποχὴν ἐξ ἀπροσεξίας εἶχε παρεντεθῆ ἡ περὶ τοῦ ἐπιταφίου φωτὸς διατριβή, ἥτις, ἀποτελοῦσα ἰδίαν διατριβὴν ἐξ ὀκτὼ φύλλων, παρεντεθεῖσα εἰς τὸν νομοκάνονα, ἠριθμήθη ὡς νὰ ἀπετέλει μέρος αὐτοῦ.

Ἡ πραγματεία αὕτη συνδέεται στενῶς πρὸς τὸ νομοκανονικὸν ἔργον, τὸ περιεχόμενον εἰς τοὺς μνημονευθέντας κώδικας, οὐ μόνον διότι ἡ γλῶσσα καὶ

---

[1] Ὀρθῶς ὁ Σακελλίων ἐν τῷ ἑαυτοῦ καταλόγῳ τῶν χειρογράφων τῆς Ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος (σ. 260) ἐκ τῆς ἀριθμήσεως τῶν σελίδων τῶν δύο τούτων χειρογράφων, τοῦ μὲν ἀρχομένου ἀπὸ σελίδος 552-1243, τοῦ δὲ ἀπὸ σελίδος 1244-1945 συμπεραίνει ὅτι τῶν δύο τούτων κωδίκων προηγεῖτο τρίτος, ὅστις, ἀρχόμενος ἀπὸ σελίδος 1-551 ἀπετέλει τὸν πρῶτον τόμον τοῦ ὅλου ἔργου. Κατὰ ταῦτα τὸ ὅλον ἔργον ἀπετελεῖτο ἐκ τριῶν τόμων, ὧν, ἀπολεσθέντος τοῦ πρώτου, σῴζονται οἱ δύο τελευταῖοι. Τοὐναντίον ἐξ ἀβλεψίας ὁ Σακελλίων ἔχει ἐσφαλμένως ἀριθμήσει τοὺς δύο σῳζομένους τόμους, τοῦ δευτέρου τούτων, τοῦ ἀρχομένου ἀπὸ τῆς σελίδος 552-1243 φέροντος τὸν ἀριθμὸν 1458 καὶ τοῦ τρίτου, τοῦ ἀρχομένου ἀπὸ σελίδος 1244—1954 φέροντος τὸν ἀριθμὸν 1457.

[2] Ἐν Ἀθήναις 1920 σ. 185-202. Ἡ περιγραφὴ τῶν δύο τούτων χειρογράφων ἔνθ' ἀν. σ. 185-189.

[3] Ἡ σελὶς 1647 τελευτᾷ «τότε γὰρ καὶ μόνον καὶ κατὰ τὸν Χρυσόστομον ἀπαλλαττόμεθα τῆς ἐπὶ τοῖς σκανδαλιζομένοις κειμένης τιμωρίας, ὅταν ἐκ τοῦ σκανδάλου κέρδος» ἡ δὲ σελὶς 1666 ἄρχεται «λου κέρδος ἕτερον τίθεται τῆς ἀπὸ τοῦ σκανδάλου βλάβης μεῖζον». Ἀπὸ τῆς σελίδος 1648 ἄρχεται ἡ διατριβὴ περὶ τοῦ ἐπιταφίου φωτὸς καὶ τελευτᾷ εἰς τὴν σελίδα 1664 οὕτως ὥστε ἡ σελὶς 1665 μένει ἄγραφος.

αἱ ἰδέαι τῶν δύο τούτων ἔργων συμφωνοῦσιν [1], ἀλλὰ καὶ διότι ὁ γράψας τὴν περὶ τοῦ ἐπιταφίου φωτὸς πραγματείαν ἦν, ὡς καὶ ὁ γράψας τὸ νομοκανονικὸν ἔργον, μαθητὴς τοῦ Γερασίμου [2] καὶ διέμενε κατὰ τὴν ἐποχὴν ἐκείνην ἐν Βουκουρεστίῳ [3]. Κατὰ ταῦτα ὁ συγγραφεὺς ταύτης καὶ ὁ τοῦ νομοκανονικοῦ ἔργου εἶναι εἷς καὶ ὁ αὐτός. Ἐπειδὴ ὅμως, ὡς ἀλλαχοῦ ἐδείχθη [4], συγγραφεὺς τοῦ νομοκανονικοῦ ἔργου εἶναι ὁ Νεόφυτος ὁ Καυσοκαλυβίτης καὶ τῆς περὶ τοῦ ἐπιταφίου φωτὸς διατριβῆς συγγραφεὺς εἶναι ὁ αὐτὸς Νεόφυτος, ὅστις, ὡς γνωστόν, εἶχε γράψει, μεταξὺ ἄλλων, καὶ πραγματείαν φέρουσαν ἐπιγραφὴν «Περὶ τοῦ ἐπιταφίου φωτός» [5]. Κατὰ ταῦτα συγγραφεὺς τῆς ἡμετέρας διατριβῆς εἶναι ὁ Νεόφυτος Καυσοκαλυβίτης.

Περὶ τοῦ ἐν Ἱεροσολύμοις ἁγίου φωτὸς ἔχουσι γραφῆ πολλά, περιέχοντα ἰδίᾳ εἰδήσεις περὶ τῆς τελετῆς τοῦ ἁγίου φωτὸς καὶ μαρτυρίας περὶ τῆς πραγματικότητος αὐτοῦ [6]. Παρὰ ταύτας ἀπὸ μακροῦ ὑπῆρχον ἀμφιβολίαι περὶ τῆς

[1] Πρβλ. ἰδίᾳ σελ. 1635 ἑ. ἔνθα γίνεται λόγος περὶ τῆς σημασίας τῆς μεταβάσεως εἰς τὰ Ἱεροσόλυμα καὶ σελ. 1782 ἔνθα, μεταξὺ ἄλλων, περὶ τοῦ ἐπιταφίου ἐν Ἱεροσολύμοις φωτὸς γέγραπται· «ὃς (Ἐφραὶμ) καὶ περὶ τοῦ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτὸς παρά του τῶν ἔσω λόγων κατ᾽ ἰδίαν ἐρωτηθείς, ἀπεκρίνατό οἱ ὡς εἴ γε ἐπ᾽ ἐμοὶ ἦν, φησι, κατήργησα ἂν καὶ τὴν ἐκείνου χειροποίητον μηχανουργίαν» ἀκριβῶς δηλαδὴ ὡς καὶ ἐν τῇ ἡμετέρᾳ περὶ τοῦ ἐπιταφίου φωτὸς διατριβῇ γέγραπται ἐν ἀρχῇ· «Ἐφραὶμ τῶν Ἱεροσολύμων πατριάρχης, ὁ ἐξ Ἀθηνῶν, ἐρωτηθεὶς ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας κατὰ τὸ ͵αψξθ´ παρά του τῶν ἔσω λόγων κατ᾽ ἰδίαν περὶ τοῦ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτὸς ἀπεκρίνατό οἱ ἐνδημούντων τὸ τηνικαῦτα ἐκεῖ καὶ ἡμῶν, ὡς εἴ γέ, φησιν, ἐν ἐμοὶ ἦν, κατήργησα ἂν καὶ τὴν ἐκείνου χειροποίητον μηχανουργίαν».

[2] Πρβλ. τὰ ἐν ἀρχῇ τοῦ περὶ τοῦ ἐπιταφίου φωτὸς ἔργου γεγραμμένα· «περιστήσας ἐν τῇ νήσῳ Πάτμῳ τοὺς ἐν τῇ σχολῇ μαθητὰς σχολαρχοῦντος ἐκεῖσε τοῦ ἀοιδίμου ἐκείνου καὶ ἐν Ἱεροσολύμοις ἡγιασμένου Γερασίμου, ᾧ καὶ αὐτὸς τὸ τηνικαῦτα ἐμαθήτευον» πρὸς τὰ ἐν σελ. 1781 τοῦ νομοκανονικοῦ ἔργου γεγραμμένα· «ὃς (Ἐφραὶμ) σὺν ἡμῖν ἐν τῷ ἐν τῇ νήσῳ Πάτμῳ σχολαρχήσαντι ἡγιασμένῳ ἐμαθήτευσεν».

[3] Πρβλ. τὰ ἐν σελ. 1781 γεγραμμένα· «ἔλεγε γὰρ ἡμῖν (ὁ Ἐφραὶμ) ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας ἐπιδημήσας κατὰ τὸ ͵αψξη´».

[4] Ἔνθ᾽ ἀν. σελ. 192 ἑ.

[5] Πρβλ. Σάθα, Νεοελ. φιλολ. σ. 512 ἔνθα μάλιστα προστίθεται «χειρόγραφον παρὰ Σοφ. Οἰκονόμῳ».

[6] Πρβλ. ἰδίᾳ Χρυσ. Παπαδοπούλου, Ἱστορία τῆς ἐκκλησίας τῶν Ἱεροσολύμων σ. 309 ἑ. Τ. Π. Θέμελη, Ἡ τελετὴ τοῦ ἁγίου φωτὸς ἐν τῇ ἑκατονταετηρίδι τοῦ πανιέρου ναοῦ τῆς ἀναστάσεως σ. 115-118. Ἀρχ. Καλλίστου, «Τὸ ἅγιον φῶς» ἐν Νέᾳ Σιὼν τόμ. 28 (τοῦ 1933) σ. 238 ἑ. Ἁγιοταφίτου, Αἱ σύγχρονοι τελεταὶ τῆς ἐκκλησίας Ἱεροσολύμων Ε´, Ἡ τελετὴ τοῦ ἁγίου φωτός, ἐν Νέᾳ Σιὼν τόμ. Α´ (τοῦ 1904) σ. 385 ἑ. Ἄξιον σημειώσεως εἶναι ἐνταῦθα ὅτι ὁ Παΐσιος Λιγαρίδης βεβαιοῖ τὰ τοῦ ἁγίου φωτὸς ὡς αὐτόπτης μάρτυς «καὶ τὸ εἶδα καὶ ἐγὼ (τὸ ἅγιον φῶς) καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ» Πρβλ. τὴν ἐμὴν διατριβὴν «Παϊσίου Λιγαρίδου λόγοι ἀνέκδοτοι» ἐν Νέᾳ Σιὼν τοῦ 1922 σ. 387 ἑ. Πρβλ. ἔτι ἰδίᾳ ὡς πρὸς τὰς μεταξὺ Ἑλλήνων καὶ Ἀρμενίων ἔριδας περὶ τῆς τελετῆς τοῦ ἁγίου φωτὸς Παπαδοπούλου Κεραμέως, Ἀνάλεκτα ἱεροσολυμιτικῆς βιβλιοθήκης τόμ. 3 σ. 252-253 καὶ 263 καὶ τόμ. 4 σ. 451-453.

πραγματικότητος τοῦ ἁγίου τούτου φωτός [1], ὡς καὶ ἐκ τῆς προκειμένης διατριβῆς φαίνεται. Ἤδη ὁ Ἐλευθέριος Μιχαῆλος ὁ Λαρισσαῖος κατὰ τὸ 1775 ἐρωτᾷ τὸν Νικηφόρον Θεοτόκην [2], μεταξὺ ἄλλων, καὶ περὶ τοῦ θείου τούτου φωτὸς «ἀληθὲς ἢ πλάσμα τὸ ἐν θεοδέγμονι τοῦ Σωτῆρος τάφῳ κατὰ τὴν κυριώνυμον τοῦ Πάσχα ἡμέραν φῶς», ὁ δὲ Νικηφόρος Θεοτόκης ἀπαντᾷ ὡς ἀκολούθως [3].

«Ὅτε μὲν ἐκ τοῦ τάφου ὁ φωτοδότης ἀνέστη, τότε φῶς ἐν τῷ τάφῳ θεόσδοτον ὤφθη, δι᾽ οὗ ὁ Πέτρος παρακύψας τὰ ὀθόνια κατεῖδε καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς τοῦ Δεσπότου κεφαλῆς, οὐ μετὰ τῶν ὀθονίων, ἀλλὰ χωρίς, ἐντετυλιγμένον εἰς ἕνα τόπον· ἄλλως γὰρ ἀμέλει τι, εἰ οὐκ ἦν φῶς, οὐκ ἄν, σκοτίας ἔτι οὔσης, ταῦτα ἑωράκει ὁ Πέτρος. Ἔνθεν τοι καὶ ἡ ἐκκλησία ᾄδει «ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς ταῖς ὁσίαις προσέταξας γυναιξὶ κηρύξαι τὴν ἔγερσιν ἀποστόλοις, ὡς γέγραπται, καὶ δρομαῖος ὁ Πέτρος ἐπέστη τῷ μνήματι καὶ τὸ φῶς ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο· ὅθεν καὶ κατεῖδε τὰ ὀθόνια μόνα»· οὐδεὶς γὰρ βλέπειν δύναται ἐν νυκτὶ τὰ προκείμενα. Ὅτι δὲ ἔκτοτε ἐν τοῖς ἐφεξῆς χρόνοις ἐτησίως τοῦτο ἐγίνετο, τῶν μὲν παλαιοτέρων, ὅσον ἐγὼ σύνοιδα, οὐδεὶς μεμαρτύρηκεν ἢ ἐμνήσθη τὸ σύνολον, ὁ δὲ Ἱεροσολύμων Νεκτάριος ἐν τῷ κατὰ Λατίνων ἐκδεδομένῳ αὐτοῦ πονήματι περὶ τοῦ θαύματος τούτου διαλαμβάνει ὡς ἐν ταῖς κατ᾽ αὐτὸν τελουμένου ἡμέραις. Εἴτε οὖν αὐτὸς ἀλήθειαν εἴρηκεν, εἴτε ἐψεύσθη, εἴτε κατὰ τὴν τοῦ δημώδους ὑπόληψιν ἀπερισκέπτως ἐλάλησεν, ἐγὼ κριτὴς οὐ γίνομαι, ἐπεὶ εὐσεβῶς ὁ ἀνὴρ τὸν βίον ἐξετέλεσε. Τί δὲ ἐν ταῖς καθ᾽ ἡμᾶς γίνεται ἡμέραις, τοῦτο ἐρῶ σοι, ὅπερ παρὰ τῶν κορυφαίων τοῦ τόπου ἐκείνου ἀκήκοα ἀνδρῶν, καὶ μάλα ἀξιοπίστων καὶ πάσης αἰδοῦς ἀξίων καὶ εὐλαβείας, ὧν τινες μὲν ἐν Κυρίῳ κεκοίμηνται, τινὲς δὲ ἔτι ἐν τῷ βίῳ περιάγουσιν. Οὐκ ἀπ᾽ οὐρανοῦ κατέρχεται, οὐδ᾽ ἀπὸ τοῦ τάφου ἀναβλύζει, ἀλλ᾽ ὁ ἐπὶ τὴν διακονίαν ταύτην ταχθεὶς ἀρχιερεὺς ἐν τῷ λεγομένῳ εἰσελθὼν Κουβουκλίῳ, τὸν πυρίτην παίων πῦρ ἐξάγει ἐπάνω τοῦ ζωοδόχου τάφου, εἶτα ἐφάψας τὰς ἐν τῷ τάφῳ πρότερον τριβείσας λαμπάδας κρατῶν ἐξέρχεται καὶ τὸ φῶς μεταδίδωσιν ὡς ἡγιασμένον τῇ ἐπαφῇ καὶ προσψαύσει τοῦ Παναγίου Τάφου. Καὶ ὁ μὲν ἀγελαῖος λαὸς ἐκ τοῦ τάφου τὸ φῶς ἐκεῖνο ἀναβλύσαν νομίζει, οὐδεὶς δ᾽ αὐτῷ τοὐναντίον εἰπεῖν θαρσεῖ, δεινόν τι παθεῖν δεδιττόμενος. Ὡς οὖν ὁρᾷς, οὐκ ἔστι πλάσμα, οὐδὲ γὰρ πλάττουσί τι ἢ κατασκευάζουσιν ὅλως, οὐδὲ δὴ τὸ γινόμενον κρύπτουσι κατ᾽ ἰδίαν ἐρωτηθέντες οἱ ἐκεῖ προεδρεύοντες, τὴν δὲ τοῦ χύδην λαοῦ ὑπόληψιν θεραπεῦσαι μὴ δυνάμενοι οἰκονομικῶς σιωπῶσι· καὶ γὰρ οὐδεμίαν ἐπιφέρει βλάβην ἡ τοιαύτη ὑπόληψις».

[1] Πρβλ. ἰδίᾳ Ἀδαμαντίου Κοραῆ, Διάλογος περὶ τοῦ ἐν Ἱεροσολύμοις ἁγίου φωτὸς (Ἄτακτα τόμ. 3 σ. 329-381 πρβλ. καὶ Σημειώσεις, Ἔνθ᾽ ἀν. σ. 382-424).

[2] Πρβλ. Κ. Δυοβουνιώτου, Νικηφόρος ὁ Θεοτόκης σ. 14.

[3] Ἔνθ᾽ ἀν. σ. 15.

Ἐκ τῆς ἀπαντήσεως ταύτης τοῦ Θεοτόκη γίνεται φανερὸν ὅτι καὶ οὗτος ἀμφιβάλλει περὶ τοῦ θείου φωτὸς προσπαθῶν νὰ ἐξηγήσῃ τοῦτο φυσικῶς. Ἔτι ὅμως λεπτομερεστέρα εἶναι ἡ κατωτέρω διατριβὴ τοῦ Νεοφύτου, ἧς ἡ διὰ τύπου ἔκδοσις εἶναι ἀναγκαία, ὅπως οὕτω καταστῇ δυνατὴ ἡ ἀντικειμενικὴ ἐξέτασις τῶν ὑπὲρ καὶ κατὰ ἐπιχειρημάτων πρὸς διαφωτισμὸν τοῦ ζητήματος τούτου.

Ἐκδίδων κατωτέρω τὴν διατριβὴν ταύτην τοῦ Νεοφύτου σημειῶ ἐνταῦθα ὅτι διορθώσεις τινάς, ἐλαχίστας, ἐπέφερον εἰς τὸ κείμενον, ἅςτινας δὲν ἐνόμισα ἀναγκαῖον νὰ ἀναφέρω.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΦΩΤΟΣ

Ἐφραὶμ τῶν Ἱεροσολύμων πατριάρχης, ὁ ἐξ Ἀθηνῶν[1], ἐρωτηθεὶς ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας κατὰ τὸ ͵αψξϑ´ παρά του τῶν ἔσω λόγου κατ᾽ ἰδίαν περὶ τοῦ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτὸς ἀπεκρίνατό οἱ, ἐνδημούντων τὸ τηνικαῦτα ἐκεῖ καὶ ἡμῶν, ὡς εἴ γέ φησιν ἐπ᾽ ἐμοὶ ἦν, κατήργησα ἂν καὶ τὴν ἐκείνου χειροποίητον μηχανουργίαν. Οὐ μὴν ἀλλὰ μακρῷ πρὸ τούτου καὶ ὁ ἱεροπρεπὴς ἐκεῖνος καὶ ἀποστολικὸς ἀνήρ, ὁ καὶ τὸν βίον καὶ τὸν τρόπον καὶ τὸν λόγον φιλόσοφος, Ἀγάπιος λέγω ὁ Ἰθακήσιος[2], περιστήσας ἐν τῇ νήσῳ Πάτμῳ τοὺς ἐν τῇ σχολῇ μαθητάς, σχολαρχοῦντος ἐκεῖσε τοῦ ἀοιδίμου ἐκείνου καὶ ἐν Ἱερομονάχοις ἡγιασμένου Γερασίμου[3], ᾧ καὶ αὐτὸς τὸ τηνικαῦτα ἐμαθήτευον, ὑπετίθετο ἡμῖν ἀναπείθειν πειρᾶσθαι τοὺς προσκυνήσεως χάριν αἱρουμένους ἀπιέναι εἰς Ἱεροσόλυμα δι᾽ αὐτὸν τοῦτον τὸν ζωοδόχον τοῦ Ἰησοῦ Χριστοῦ τάφον ἐκεῖσε ἀποδημεῖν κοὐχὶ διὰ τὸ χειροποίητον ἐκεῖνο φῶς, οὗ κἀγώ, φησι, τὴν δραματουργίαν αὐτοψεὶ κατανοήσας μικροῦ καὶ κατελεύσθην ὑπὸ τῶν ἐκεῖσε φωτοποιῶν, ὡς δῆθεν κατάσκοπος. Ἀλλὰ καὶ Χῖός τις τῶν ἐλλογίμων ἀνὴρ καὶ τῇ λαμπρότητι ὧν πλουτεῖ ἀρετῶν τὴν οἰκείαν πατρίδα εἰ καί τις ἄλλος καταγλαΐζων, Νικολάκις τοὔνομα, τοὐπίκλην Δρακάκης, ἐπανελθὼν ἀπὸ τῆς τοῦ ζωοδόχου τάφου προσκυνήσεως, ἐπεὶ μάθοι παρά του τῶν συνόντων μοι ἅττα περὶ τῶν εἰς Ἱεροσόλυμα ἀπιόντων ὅ τε Νύσσης Γρηγόριος ἔγραψε καὶ ἡμεῖς ἐνδημοῦντες τῇ Χίῳ ἐπεξειργασάμεθα, οὐδὲν ἔφη ἤνυσε (περὶ ἡμῶν τοῦτο λέγων) μὴ τὴν τοῦ φωτὸς ἐκείνου δραματουργίαν τῷ λόγῳ ἀπογυμνώσας. Τούτων ἡμεῖς ἀκούσαντες καὶ ἅττα καθ᾽ ἑαυτοὺς διηπορήσαμεν ἐξαγγεῖλαι δεῖν ἔγνωμεν ὅ, τι δήποτε ὧν μὲν οἱ τῶν Εὐαγγελιστῶν, Λουκᾶ τε καὶ Ἰωάννου, τάφοι κατ᾽ ἔτος ἐν τῇ μνήμῃ

[1] Περὶ τοῦ πατριάρχου Ἐφραὶμ πρβλ. Ζαβίρα, Ν. Ἑλλὰς σ. 299. Σάθα, Νεοελ. φιλολογία σ. 507 καὶ ἰδίᾳ Χρυσ. Παπαδοπούλου, Ἱστορία τῆς ἐκκλ. Ἱεροσολύμων **σ. 645 ἑ.**

[2] Πρβλ. Ζαβίρα, Ἔνθ᾽ ἀν. σ. 162 καὶ 169.

[3] Πρβλ. Ζαβίρα, Ἔνθ᾽ ἀν. σ. 215 καὶ Σάθα, Ἔνθ᾽ ἀν. σ. 600.

αὐτῶν ἀνεδίδοσαν (ὁ μέν φημι κόνεως ὁ δὲ κολλουρίου εἴτ᾽ οὖν χρώματος, ὁ τοῦ Λουκᾶ) μνημονεύει ἡ ἐκκλησία, τοῦ δὲ ἐν Ἱεροσολύμοις ἐπιταφίου ἐκείνου φωτός, τοῦ κατ᾽ ἔτος φημί, οὐκ ἐμνημόνευσεν οὐθ᾽ ἡ ἐκκλησία τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς τοῦ Χριστοῦ ἀναστάσεως κατ᾽ ἔτος τελοῦσα, οὔτε τις τῶν θεοφόρων πατέρων, ἐν οἷς περὶ τῆς τοῦ Χριστοῦ σταυρώσεως καὶ ταφῆς καὶ ἀναστάσεως ὡμίλησεν. Οὐδὲ γὰρ συνηγορήσει τοῖς περὶ τὸν Ἱεροσολύμων Μελέτιον φωτουργοῖς, ὃ ὁ Πέτρος κατὰ τὸν μελῳδὸν Δαμασκηνὸν ἐν τῷ τάφῳ ἑώρα φῶς· ἐκεῖνο μὲν γὰρ καὶ νυκτός, ὡς αὐτὸς ᾄδει, ὦπται καὶ ἐν τῷ τάφῳ (ἵν᾽ οἶμαι ἴδῃ Πέτρος τὰ ἐν τῷ τάφῳ) καὶ μετὰ τὴν ἀνάστασιν τοῦ Κυρίου, τοῦτο δὲ καὶ ἐν ἡμέρᾳ καὶ πρὸ τοῦ ἀναστασίμου καιροῦ καὶ οὐδ᾽ ἐν τῷ τάφῳ, ἀλλ᾽ ἐπὶ τοῦ μνήματος, δείλης ἑσπέρας Σαββάτου, μᾶλλον δὲ μικρὸν μετὰ μεσημβρίαν ἀναθρῶσκον ἐπιπολάζει. Οὐδὲ γάρ, ἐπειδὴ καὶ τὴν ὥραν, καθ᾽ ἣν ἀνέστη ὁ Κύριος, οὐκ ἀπηκρίβωσαν οἱ Εὐαγγελισταί, τοὺς καιροὺς μόνον ἀναγράψαντες, καθ᾽ οὓς οἱ ἐπὶ τὸ μνημεῖον ἐλθόντες ἀνεστηκότα τὸν Κύριον εὑρηκέναι ἔφασαν, παρὰ τοῦτο προσήκει πρὸ ὀψὲ τῆς μιᾶς Σαββάτου ἐν αὐτῷ τῷ Σαββάτῳ, ἐν ᾧ κατά τε τὰς τῶν Ἀποστόλων Διαταγὰς καὶ τὸ δόγμα τῆς ἐκκλησίας ὁ δημιουργὸς ὑπὸ γῆν ἦν, φωτουργεῖν τὸ τῆς ἀναστάσεως μᾶλλον δὲ τὸ μετὰ τὴν ἀνάστασιν φῶς πρὶν ἢ λέγω μετὰ Πέτρου δραμόντες, μᾶλλον δὲ πρὸ Πέτρου μετὰ τῶν μυροφόρων ὄρθρου βαθέως ἐλθόντες ἐπὶ τὸ μνημεῖον ἰδεῖν τε καὶ ἀκοῦσαι ἅττα καὶ οἱ περὶ τὴν Μαγδαληνὴν Μαρίαν ἰδοῦσαι καὶ ἀκούσασαι τοῖς περὶ τὸν Πέτρον ἀπαγγεῖλαι ἀπεστάλησαν. Τὸ γὰρ παρὰ καιρὸν γιγνόμενον τῶν παρ᾽ ἐντολήν ἐστι κατὰ τὸν μέγαν Βασίλειον, τὰ δὲ παρ᾽ ἐντολὴν οὐκ οἶδα ὅπως ποτὲ τὸ θεῖον ἕξει συνήγορον καὶ τὴν ἄνωθεν ῥοπὴν σύνδρομον. Προανακρούει μὲν γὰρ ἡ ἐκκλησία ἑσπέρας Σαββάτου τὰ τῆς ἀναστάσεως, ἀλλ᾽ οὐχὶ καὶ τὰ μετὰ τὴν ἀνάστασιν πρὸ τῆς ἀναστάσεως τελεῖ, ἐπεὶ ὅρα καθ᾽ ἑκάστην ἑσπέραν Σαββάτου καὶ τὰ ἑωθινὰ τῶν μυροφόρων ἀναγινώσκειν εὐαγγέλια καὶ τὸ ἱερὸν εὐαγγέλιον εἰς ἀσπασμὸν προτιθέντας τὸ ἀνάστασιν Χριστοῦ θεασάμενοι κ. λ. ἐπιφωνεῖν. Τίς δὲ καὶ τῶν Εὐαγγελιστῶν εὕρηταί που τὸν Πέτρον καὶ φῶς ἐν τῷ τάφῳ ἑωρακέναι εἰπών· ὁ γὰρ ἐκ Δαμασκοῦ φωστὴρ (ὃν καὶ συγγνῶναί μοι τῆς τόλμης αἰτοῦμαι, ἀνθ᾽ ὧν ὁ λόγος οὐχὶ αὐτῷ, ἄπαγε, ἀλλ᾽ οἷς ἄλλοι, ἐξ ὧν ἐκεῖνος ἀπεριέργως ἐμελογράφησε, περιέργως ἀναπλάττειν ἀντιφέρεται) προϋποθέμενος, ὡς ἔοικε, τὸν Πέτρον ἐν νυκτὶ καὶ καταλαβεῖν τὸ μνημεῖον καὶ παρακύψαντα ἰδεῖν ἐν αὐτῷ, ἅπερ εἶδεν. Ἐντεῦθεν, οἶμαι, συνελογίσατο ὡς ἐν νυκτὶ φωτὸς μὴ παρόντος οὐκ ἂν ἴδοι τις τὰ προκείμενα (οὐδεὶς γάρ, φησι, βλέπειν δύναται, ἐν νυκτὶ τὰ προκείμενα), ἀλλὰ μὴν Πέτρος ἐν νυκτὶ εἶδεν, ὑπὸ φωτὶ ἄρα εἶδεν. Ἀλλὰ γὰρ ὁ Πέτρος ἔδραμεν ἐπὶ τὸ μνημεῖον κατὰ μὲν τὸν Λουκᾶν μεθ᾽ ὃ ὑπὸ τῶν μυροφόρων τὴν ἀνάστασιν τοῦ Κυρίου εὐαγγελισθεὶς μετὰ τῶν περὶ αὐτὸν ἠπίστησεν, αἱ δὲ μυροφόροι μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου ἀπὸ τοῦ μνήματος ὑποστρέψασαι εὐηγγελίσαντο τοῖς ἀποστόλοις

(εἴ γε κατὰ τὸν Διονύσιον Ἀλεξανδρείας ἑρμηνεύοντα ἐν τῇ ἑαυτοῦ πρὸς Βασιλείδην κανονικῇ ἐπιστολῇ τοῦ Μάρκου τὸ καὶ λίαν πρωῒ ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου, τὴν μὲν ὁρμὴν τοῦ ἐπὶ τὸ μνημεῖον δρόμου ὄρθρου βαθέως εἴτ' οὖν λίαν πρωΐ, ταὐτοδύναμα γὰρ εἰσί φησιν ἑκάτερα, ἐποιήσαντο, τὴν δὲ ἐπὶ τὸ μνημεῖον πορείαν καὶ τὴν περὶ αὐτὸ διατριβὴν παρέτειναν μέχρις ἀνατολῆς ἡλίου). Κατὰ δὲ τὸν Ἰωάννην, μεθ' ὃ ἡ Μαγδαληνὴ Μαρία πρωῒ σκοτίας ἔτι οὔσης ἐλθοῦσα εἰς τὸ μνημεῖον ἔδραμεν ἔπειτα πρὸς αὐτὸν τοῦ Κυρίου οὐχὶ τὴν ἀνάστασιν, ἀλλὰ κλοπήν, ὡς ὑπενόησεν, αὐτῷ ἀπαγγέλλουσα, μετὰ τοῦτο ἔδραμε καὶ αὐτὸς ἐπὶ τὸ μνημεῖον οὐ πάντως δὲ καὶ ἐν σκοτίᾳ αὐτὸ κατέλαβεν· οὐδὲ γὰρ οὐδ' ἡ πρὸ αὐτοῦ Μαγδαληνὴ ἐν σκοτίᾳ πάντως αὐτὸ κατειλήφει, ἀλλὰ τῆς ἐπ' αὐτὸ ὁρμῆς καὶ τοῦ δρόμου, ἐν σκοτίᾳ ἀρξαμένη πρωΐας αὐτό, ὡς εἰκός, κατέλαβεν ὡς καὶ παρὰ τῷ Μάρκῳ περὶ τῶν ἄλλων μυροφόρων εἴρηται ὅτι λίαν πρωῒ ἐπὶ τὸ μνημεῖον ὁρμήσασαι ἀνατείλαντος τοῦ ἡλίου ἦλθον ἐπ' αὐτό, ὁπότε οὐδ' εἰ ἡ Μαγδαληνὴ καθ' ὑπόθεσιν σκοτίας ἔτι οὔσης κατειλήφει τὸ μνημεῖον, οὐδὲ οὕτω φημὶ ἕπεται καὶ τὸν μετ' αὐτὴν δραμόντα Πέτρον ἐν σκοτίᾳ καταλαβεῖν αὐτό· εἰκὸς καὶ γὰρ ἐν τῇ παρατάσει τοῦ χρόνου, καθ' ὃν ἡ Μαγδαληνὴ ἀπὸ τοῦ μνημείου πρὸς τὸν Πέτρον τρέχουσα μετ' αὐτοῦ ἐπὶ τὸ μνημεῖον ἐπανέδραμε, παρελθεῖν τὴν ἔτι ἐπικρατοῦσαν σκοτίαν. Εἴποιεν δ' ἂν ἴσως ὡς οὐχ ἵνα Πέτρος ἴδῃ τὰ ἐν τῷ τάφῳ τὸ φῶς ἐν αὐτῷ ἑωρᾶτο, ἀλλ' εἰς ἔκπληξιν θαύματος· ἀπῆλθε γάρ φησι πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ μὴν τὸν Πέτρον τὰ ἐν τῷ τάφῳ ὀθόνια κείμενα μόνα ἐξέπληξε καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Εἰ δὲ καὶ φῶς ἦν ἐκπλῆττον αὐτόν, οὐκ ἂν τοῦτο παρέδραμον οἱ τά τε ἐν τῷ τάφῳ καὶ τὰ περὶ τὸ μνημεῖον ἐκπληκτικὰ εἴτ' οὖν ὑπερφυῆ ἀνιστορήσαντες, τὸν μέγαν λέγω γεγονότα σεισμόν, τὸ τοῦ σφόδρα μεγάλου λίθου ἀπὸ τῆς θύρας τοῦ μνημείου ἐξ ἀγγέλου ἀποκύλισμα, τὸν ἐπ' αὐτοῦ καθεζόμενον ἀστραπόμορφον ἄγγελον, τὴν τῶν τηρούντων ἐκ τούτου μικροῦ δεῖν ἀπὸ τοῦ φόβου ἀπενέκρωσιν, τὸν ἐν τῷ τάφῳ λευχείμονα νεανίσκον καὶ τοὺς ἐν ἐσθήτεσιν ἀστραπτούσαις ἐπιστάντας ταῖς ἐν τῷ τάφῳ γυναιξὶ δύο ἄνδρας, εἴτ' οὖν ἀγγέλους, ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Κατελάμπετο μὲν γὰρ ὁμολογεῖ ὁ τοῦ Κυρίου τάφος ἐκ τῶν ἐν αὐτῷ ἀστραπομόρφων ἀγγέλων, παρόντων δῆλον ὅτι, εἴτ' οὖν ὀπτανομένων καὶ ὁμιλούντων ταῖς γυναιξίν, εἴ γε καὶ τῷ Πέτρῳ ἐπιστάντος ἀγγέλου φῶς φησιν ἔλαμψεν ἐν τῷ οἰκήματι· φωτεινοὶ γὰρ οἱ ἅγιοι ἄγγελοι ὡς τοῦ πρώτου φωτὸς φῶτα λειτουργικὰ δεύτερα κατὰ μέθεξιν χρηματίζοντες, κατὰ τὸν θεολόγον Γρηγόριον. Ἀλλ' οὔθ' ὁ Πέτρος τινὶ τούτων εἰσελθὼν εἰς τὸ μνημεῖον ἐντετυχηκὼς φαίνεται, οὔτε τὴν ἐκείνου ἐν τῷ τάφῳ ἐξαστράπτουσαν αἴγλην ὁ λόγος σκοπεῖ, ἀλλ' εἴπερ καὶ ἀποστάντων τῶν ἀγγέλων καὶ πρὸ τῆς ἐκείνου ἐπιστασίας

φῶς ὑπερφυὲς ἐν τῷ τάφῳ ἑωρᾶτο, οὗτινος πρὸς μίμησιν φωτουργοῦσιν οἱ μετὰ ταῦτα· ἦν γὰρ ἄν, εἴπερ εἰς λόγον γραφικῆς ἱστορίας, τὸ φῶς ἐκεῖνο οὐδὲν ἔλαττον οἶμαι τῶν φώτων ἐκείνων, τοῦ τε τὸν Παῦλόν φημι καὶ τοὺς περὶ αὐτὸν ἡμέρας μέσης περιαστράψαντος καὶ τοῦ ἐν τῷ τοῦ Πέτρου οἰκήματι νυκτὸς λάμψαντος, τῆς ἐπὶ τοῦ Θαβὼρ τοὺς ἀποστόλους ἐπισκιασάσης φωτεινῆς νεφέλης, τῶν τοῦ πάλαι Ἰσραὴλ προηγουμένων πυρὸς καὶ νεφέλης στύλων, τῆς τὴν βάτον ἀκαταφλέκτως πυρπολούσης φλογός, τοῦ τὰς νομικὰς θυσίας ὁλοκαυτοῦντος ἀχειροποιήτου πυρὸς καὶ ἄνωθεν ἐξ οὐρανοῦ καὶ κάτωθεν ἐκ πέτρας, τῆς νεφέλης ἐκείνης, τῆς ἔνθα μὲν ἐν εἴδει πυρὸς τὴν σκηνὴν καλυπτούσης, ἔνθα δέ, τὸν οἶκον Κυρίου πληρούσης. Πολλῷ γὰρ κρείττων εἰς λόγον σεβάσματος ὁ τοῦ Κυρίου τάφος καὶ τὰ ἐν αὐτῷ τοῦ τε Σινᾶ καὶ τῆς νομικῆς σκηνῆς καὶ τοῦ Σολομωντείου ναοῦ, ναὶ δὴ καὶ τῶν αὐτοῖς· ἰδοὺ γάρ φησιν ὁ Κύριος μεῖζον τοῦ ἱεροῦ καὶ πλεῖον Σολομῶντος ὧδε. Ἔγωγε μέντοι ἐκ τῆς τῶν ἐλαττόνων συγκρίσεως τεκμαίρομαι, μᾶλλον δὲ καὶ πέπεισμαι οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον καταφωτισθῆναι τὴν νύκτα ἐκείνην ὑπερουρανίῳ φωτὶ καὶ τὸν τὸ φῶς τοῦ κόσμου ὑποδεξάμενον ζωοδόχον τάφον, σιγῆσαι δὲ τοῦτο τοὺς Εὐαγγελιστὰς προαναστέλλοντας, οἶμαι, ἣν ἑώρων τῷ πνεύματι τῶν μετὰ ταῦτα πρὸς μίμησιν τοῦ φωτὸς ἐκείνου δραματουργίαν· καὶ γὰρ οὔτε τὴν σκηνὴν τοῦ μαρτυρίου μετὰ τὴν τοῦ Ἰορδάνου διάβασιν ἐν τῇ γῇ τῆς ἐπαγγελίας καταπαύσασαν φαίνεταί που ἡ ἐπὶ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἢ ἐπὶ Δαβὶδ νεφέλη ἐν εἴδει πυρός, ὡς καὶ πρότερον καλύπτουσα, οὔτε τὸν τοῦ Σολομῶντος ναὸν κατ' ἔτος πληροῦσα οὔτε ἐπὶ τοῦ ἁγνισμοῦ αὐτοῦ μιάναντος αὐτὸν τοῦ Ἄχαζ, ἀλλ' οὐδὲ ἐν τοῖς ἐγκαινίοις αὐτοῦ ἢ τοῖς πρώτοις ἢ τοῖς δευτέροις, οὐ μὴν οὐδὲ τὸ ἅπαξ παρὰ Κυρίου ἐξελθὸν πῦρ καὶ καταφαγὸν τὰ ἐπὶ τοῦ θυσιαστηρίου ὁλοκαυτώματα καὶ ἐφ' ἑκάστης θυσίας ἢ κατ' ἔτος κατήρχετο, ἀλλὰ καύσει ξύλων διηνεκεῖ ἄσβεστον διατηρούμενον ταῖς ἐν τῷ ναῷ θυσίαις δῆλον ὅτι καὶ αὐτὸ συνεξέλιπεν ἐμπρήσαντος τὸν ναὸν τοῦ Ναζουζαρδάν, μᾶλλον δὲ καὶ πρὸ τοῦ ἐμπρησμοῦ ἐπὶ Ἄχαζ, τοῦ μιάναντος τὸν οἶκον Κυρίου καὶ ἀποκλείσαντος τὰς θύρας αὐτοῦ ὥστε μήτε λύχνους ἅπτειν, μήτε θυμίαμα θυμιᾶν, μήτε ὁλοκαυτώματα ἀναφέρειν· οὐδὲ γὰρ οὐδ' αὐτὸ φαίνεται ἢ ἐν τῷ ἁγνισμῷ τοῦ ναοῦ ἢ ἐν τοῖς ἐγκαινίοις κατερχόμενον. Τὰς γὰρ ἐπὶ τῶν ἀποστόλων γλώσσας τῶν μαθητῶν καὶ προφητείας καὶ τὰ σημεῖα καὶ τὰς ἑξῆς ἐκ τῶν μαρτυρικῶν καὶ ὁσιακῶν λαρνάκων ἀναβλύσεις τοῦ μύρου καὶ ἅττα οἱ τάφοι τῶν δυοῖν εἰρημένων ἀποστόλων κατ' ἔτος ἀνεδίδοσαν, ταῦτα πάντα πάλαι πεπαυμένα ἀφίημι. Τὸ γὰρ πάλαι καθιέμενον οὐρανόθεν πῦρ ἐπὶ τὰ θεῖα θυσιαστήριά φησι Κύριλλος Ἀλεξανδρείας τοῦ κατὰ Χριστὸν μυστηρίου προαναφώνησις ἦν. Ἀπειπὼν γὰρ ὁ θεῖος νόμος τὸ ἐπεισφρῆσαι πῦρ ἀλλότριον ἐτύπου ὡς εἷς ἔστιν καὶ μόνος ὁ φύσει καὶ ἀληθῶς Θεὸς συναριθμῶν ἑαυτῷ παντελῶς οὐδένα τὸν σκηνὴν τὴν ἀληθεστέραν, τοῦτ' ἔστι, τὴν ἐκκλησίαν νοητῷ καταυγάζοντα φωτί. Ἡμῖν

δὲ ἀπόχρη διὰ τῶν τηνικάδε δρωμένων καθάπερ ἐν πίνακι τῆς ἀληθείας τὸ κάλλος διαμορφούμενον τοῖς τῆς διανοίας ὄμμασι καθορᾶν, θύομεν δὲ μακρῷ κρεῖττον ἡμεῖς ἢ οἱ πάλαι· κάτεισι γὰρ οὐρανόθεν οὐ πῦρ αἰσθητὸν τῆς ἀρρήτου φύσεως εἰκόνα πληροῦν, ἀλλ᾽ ἐκ πατρὸς δι᾽ υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον καταφωτίζον τὴν ἐκκλησίαν, προσιέμενον δὲ καὶ τὰς θυσίας τὰς πρὸς ἡμᾶς πνευματικὰς δῆλον ὅτι καὶ νοητάς. Ὁρᾷς ὡς νῦν τὸ οὐρανόθεν κατερχόμενον καὶ καταφωτίζον τὴν ἐκκλησίαν οὐ πῦρ αἰσθητόν ἐστιν. Ἀλλ᾽ οὐδὲ ἐξ ἐκείνου αὐτῶν τοῦ λόγου ἕξουσί τι πλέον οἱ τῆς μηχανικῆς ταύτης φωτουργίας τὸ ἀνιστόρητον ἐκ τῶν τοῦ μελῳδοῦ συγκροτεῖν πειρώμενοι, ὡς ἄρα τὰ προφανῆ τῶν κατ᾽ ἔτος ὡσαύτως γινομένων ἱστορίας, ἧςτινοσοῦν οὐδόλως χρῄζει, ὡς τὴν τῶν ὁρώντων ὄψιν ἱστορίας ἁπάσης τορώτερον ἐπιμαρτυροῦσαν ἔχοντα. Ἀντεποίσοι γὰρ ἄν τις καὶ πρὸς ταῦτα τί προφανέστερο ντῆς τοῦ γιγαντοδρόμου ἡλίου ἀνατολῆς τε καὶ δύσεως καὶ ὡς ἐκλείπει μὲν ἥλιος, σελήνη δὲ φθίνει καὶ ὡς ὑψηλὸς μὲν ὁ οὐρανός, νεοσσοὶ δὲ γυπὸς ἐπὶ τὰ ὑψηλὰ πέτονται, ὁ δὲ ἄνθρωπος ταπεινός; Τί γνωριμώτερον τῶν ἀνὰ μέσον τῶν ὀρέων διερχομένων ὑδάτων καὶ τῶν ἐν φάραγξι πηγῶν, τῆς τῶν πετεινῶν τοῦ οὐρανοῦ ἐπὶ τὰ ὄρη κατασκηνώσεως καὶ ὡς νυκτὸς μὲν τὰ θηρία ἐπὶ βρῶσιν διέρχονται, ἀνατείλαντος δὲ τοῦ ἡλίου ἐκεῖνα μὲν εἰς τὰς ἑαυτῶν μάνδρας συναγόμενα κοιτάζονται, ἄνθρωπος δὲ ἐξέρχεται ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας; Καὶ ὡς ἀνθρώπου καρδίαν στηρίζει μὲν ἄρτος, εὐφραίνει δὲ οἶνος, τὸ δὲ πρόσωπον ἐν ἐλαίῳ ἱλαρύνεται; Καὶ ὡς εὐφραινομένοις μὲν θάλλει πρόσωπον, ἐν λύπαις δὲ οὖσι σκυθρωπάζει; Τίς τῶν ποιούντων ἐργασίαν ἐν ὕδασι πολλοῖς ἠγνόησεν ὡς εὐρύχωρός τε ἡ θάλασσα ὄρεσιν ἁμιλλωμένη ταῖς τρικυμίαις καὶ ἐν αὐτῇ ἀναρίθμητα καὶ ἑρπετὰ νηκτοπόρα καὶ πλοῖα ποντοπόρα; Τίς οὐ βλέπει συμπάντων τῶν ὁρωμένων τὴν κατὰ τὸν Ἐκκλησιαστὴν καὶ τὸν Ψαλμῳδὸν ματαιότητα ἢ τὴν ἀνθρωπίνην ζωὴν ὡς ἑβδομηκοντοῦντις ἢ ὀγδοηκοντοῦτις καὶ τὸ πλεῖον αὐτῆς κόπος καὶ πόνος καὶ ὅτι ὡσεὶ χόρτος αἱ ἡμέραι τοῦ ἀνθρώπου καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου; Ἀλλὰ γὰρ καὶ τούτων ἕκαστον, ἵνα τὰ πλεῖστα παραλείψω, καίτοι μὴ κατ᾽ ἔτος μόνον, ἀλλὰ καὶ καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, καὶ γιγνόμενον καὶ δρώμενον, οὐδὲν ἧττον καὶ γραφικῆς ἱστορίας ἠξίωται. Εἰ τοίνυν τὰ φυσικὰ ταῦτα καὶ καθ᾽ ἑκάστην ὑπ᾽ ὄψιν προκείμενα ἱστορίας ὁ λόγος ἠξίωσε, τί δήποτε τὸ ὑπερφυές, ὥς φασι, τῆς ἐπιταφίου τῆσδε κατ᾽ ἔτος φωτοφανείας ἀνιστόρητον τοῖς θεοφόροις πατράσι παρῶπται καὶ μάλιστα τῷ Νυσσαέων λαμπρῷ φωστῆρι, τῷ καὶ αὐτοπροσώπως τὰ Ἱεροσόλυμα ἱστορήσαντι καὶ περὶ τῶν εἰς Ἱεροσόλυμα προσκυνήσεως χάριν ἀπιόντων λόγον οὐκ ἀγενῆ μετὰ τὴν ἐπάνοδον συγγεγραφότι (τοὺς γὰρ περί τε Κύριλλον Ἀλεξανδρείας καὶ Χρυσόστομον πνευματοφόρους πατέρας μηδὲν μηδόλως ἐν τῇ εἰς τὸ κατὰ Ἰωάννην ἐξηγήσει ἢ περὶ οὗ ὁ Πέτρος κατὰ τὸν Δαμασκηνὸν ἐν τῷ τάφῳ ἑωράκει φωτὸς ἢ περὶ τῆς ἐπιταφίου κατ᾽ ἔτος φωτοφανείας εἰρηκότας παρήσειν μοι τέως δοκῶ, ὡς μήπω, ὡς οἶμαι, ἐπ᾽ ἐκείνων δραματουργηθείσης). Ἀλλ᾽ ὑπὲρ μὲν τῆς τοῦ ζωοδόχου τάφου προσκυνήσεως πολὺς παρὰ πολλοῖς καὶ ὀρεσιτρόφοις καὶ πολιούχοις Πατράσιν ὁ λόγος καὶ μάλιστα τῷ ἱερῷ Ἱερωνύμῳ, περὶ δὲ τῆς ἐπὶ τοῦ μνήματος κατ᾽ ἔτος φωτοφανείας οὐδεὶς παρ᾽ οὐδέσιν οὐδὲ παρ᾽ αὐτῷ τῷ μετὰ Δοσίθεον Χρυσάνθῳ, τῷ τὴν εἰς Ἱεροσόλυμα προσκυνήσεως χάριν ὁδοιπορίαν σωτηρίας καὶ μετανοίας οὐ τὸ τυχὸν τιθεμένῳ ὅτι μὴ παρὰ μόνῳ τῷ ὑπὸ τοῦ Δοσιθέου προχειριζομένῳ, ἀσήμῳ τινὶ ἱστορικῷ, εἰς ἔλεγχον μᾶλλον ἢ εἰς σύστασιν τοῦ πράγματος. Τί γὰρ δὴ καὶ βούλεται Δοσίθεος αὐτὸς μὲν ἐν τῇ πολυμαθεστάτῃ αὐτοῦ δωδεκατεύχῳ βίβλῳ οὐδὲν οὐδαμοῦ οἴκοθεν εἰρηκὼς περὶ ἧς καὶ αὐτόπτης, τυχὸν δὲ καὶ αὐτουργὸς ἦν ἐπιταφίου κατ᾽ ἔτος φωτοφανείας, ἅπαξ δέ που εἰσάγει ὡς δῆθεν ἑαυτοῦ ἀξιοπιστότερον τὸν ἑτεροίως τε καὶ παρηλλαγμένως ἐφ᾽ ἑαυτοῦ ἢ ὡς ἐπὶ ἐκείνου καὶ τὸν καιρὸν καὶ τὸν τρόπον τῆς εἰρημένης φωτοφανείας ἱστοροῦντα, κἄτα τοῦ τε καιροῦ καὶ τοῦ τρόπου τὸ παρηλλαγμένον δέον αἰτιολογήσασθαι, ὁ δὲ σιωπῇ παρατρέχει; Ἐπὶ γὰρ βασιλέως, φησί, Λέοντος τοῦ σοφοῦ, ὡς γράφει ὁ Καισαρείας Ἀρέθας πρὸς Οὐϊζὴρ τὸν φύλαρχον τῶν Ἀράβων αὐτῇ τῇ ἡμέρᾳ τῆς τοῦ Χριστοῦ ἀναστάσεως παντὸς πυρὸς σβεσθέντος ἐν Ἱεροσολύμοις ἐσκευάζετο κανδήλα μετὰ ἐλλυχνίου καὶ ἱσταμένου τοῦ μὲν κατὰ τὴν Ἱερουσαλὴμ Ἀμηρᾶ ἐγγὺς τοῦ ἁγίου τάφου ἐσφραγισμένης τῆς θύρας ὑπ᾽ αὐτοῦ, τῶν δὲ Χριστιανῶν ἔξω εἰς τὸν ναὸν τῆς ἁγίας Ἀναστάσεως καὶ κραζόντων τὸ Κύριε ἐλέησον ἐξαίφνης ἀστραπῆς γενομένης ἀνῆπτε εἰς τὴν κανδήλαν φῶς καὶ ἐξ αὐτοῦ τοῦ φωτὸς οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ πάντες ἐλάμβανον καὶ ἀνῆπτον πῦρ. Καὶ οὕτω μὲν τότε, ἐφ᾽ ἡμῶν δὲ οὔτε μετ᾽ ἀστραπῆς, ὡς τὸ πάλαι, οὔτε κατ᾽ αὐτὴν τὴν ἀναστάσιμον ἡμέραν, οὔτε ἐκ μόνης τῆς κανδήλας, ἀλλὰ καὶ ἀστραπῆς δίχα καὶ ἐν τῇ πρὸ τῆς ἀναστάσεως ἡμέρᾳ καὶ ἐπ᾽ αὐτοῦ τοῦ ζωοδόχου τάφου, μᾶλλον δὲ τοῦ ἐπὶ τοῦ τάφου ἁγίου λίθου χεόμενον κἀκεῖθεν διαδιδόμενον εἰδὼς ὁ Δοσίθεος τὸ φῶς οὐδὲν περὶ τῆς παραλλαγῆς καὶ τοῦ χρόνου καὶ τοῦ τρόπου καὶ τοῦ τόπου ᾐτιολογήσατο. Ἦ οὐχὶ συνιέναι ἐκ τούτων δίδωσι τοῖς γινώσκειν ἔχουσιν, ἃ ἀναγινώσκουσιν, ὡς οὐδ᾽ αὐτὸς κατὰ τὸν εἰρημένον Ἐφραὶμ συνευδοκεῖ οἷς ὡς αὐτελέγκτοις οὐδὲ γρῦ, τὸ τοῦ λόγου, εἰς συνηγορίαν οἴκοθεν συνεισήνεγκεν. (Οὐ μὴν ἀλλ᾽ οὐδὲ Οὐρβανὸς ὁ β´ πάπας μνημονεύων παρὰ Βαρωνίῳ λατίνῳ κατὰ τὸ χιλιοστὸν ἔνατον σωτήριον ἔτος ἐν τῇ κατὰ Κλαρομοντεσίῳ συνόδῳ τοῦ ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου τάφου κατ᾽ ἔτος γινομένου, οὐδὲ οὗτος, φημί, σύμφωνα τοῖς ἐφ᾽ ἡμῶν ἐκεῖ πραττομένοις ἐξ ἀκοῆς ἱστορεῖ. Πᾶσαι γάρ φησιν αἱ τοῦ ἱεροῦ καὶ τοῦ τάφου λυχνίδες σβεννύμεναι, πάλιν θεόθεν ἅπτουσιν. Ἐφ᾽ ἡμῶν δὲ οὐ πᾶσαι, ἀλλ᾽ ἐκ πασῶν μία καὶ οὐδ᾽ αὐτὴ ἡ τυχοῦσα, ἀλλ᾽ ἡ ἐπ᾽ αὐτῷ τούτῳ ὡρισμένως ἐσκευασμένη ἁπασῶν ὕψιστα ὑπ᾽ αὐτὴν τὴν ἁψῖδα τοῦ ναοῦ προανελκυσθεῖσα, ἵνα, ὡς ἔοικε, λήσει τοὺς ὀφθαλμοὺς τῶν κάτω, ὅπως τε κατεσκεύασται καὶ ὅπως ἅπτει. Ἐπιταφίου δὲ φωτὸς οὐδὲ ἐκεῖνος ὅλως μνη-

μονεύει, ὥσπερ οὖν οὐδ᾽ ὁ παρὰ τοῦ Δοσιθέου ἱστορικός, δῆλον ὡς ὑστερογενοῦς· ἐμνημόνευσαν γὰρ ἂν κἀκείνου, καὶ μάλιστα ἐκείνου, εἴπερ ἦν παλαιγενές. Νῦν δὲ ὑστερογενοῦς ἐκείνου ἐκ τῶν δυοῖν τούτων ἱστορικῶν προφανῶς δεικνυμένου, οὐδὲ τῶν σβεννυμένων ἄρα λυχνίδων ἢ πάλαι μέν, ὥς φασι, πασῶν ἐξ ἀσπραπῆς ἐν τῇ ἀναστασίμῳ, νῦν δὲ μιᾶς καὶ αὐτομάτου καὶ ἐν τῷ Σαββάτῳ ἅψις ἀνύποπτος)· τί γὰρ ἐκώλυε κἀκεῖνον, εἰ μηδὲν ἄλλο, ὃ γοῦν ὁ Πέτρος ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο φῶς εἰς ἀπόδειξιν προχειρίσασθαι; Ἀλλὰ γὰρ ᾔδει μὲν ὡς τὸ φῶς ἐκεῖνο οὐ πρὸ τῆς ἀναστάσεως, ἀλλὰ μετὰ τὴν ἀνάστασιν ὦπται τῷ Πέτρῳ καὶ οὐδὲ ἔξωθεν τοῦ τάφου ἐπὶ τοῦ μνημείου ἄνωθεν τοῦ σπηλαίου ῥυτῶς ἀνακεχυμένον καὶ δραξὶ ταῖς τῶν μυροφόρων ἢ τοῦ Πέτρου δίκην ὕδατος ἀρυόμενον, ἀλλ᾽ ἐν αὐτῷ τῷ τάφῳ ἀναφῶς ἐξαστράπτον καὶ οὐδὲ περὶ σταθεράν που τῆς ἡμέρας μεσημβρίαν, ἀλλ᾽ ἕωθεν κατὰ μὲν τὸν Εὐαγγελιστὴν σκοτίας, κατὰ δὲ τὸν ἐκ Δαμασκοῦ φωστῆρα νυκτὸς ἔτι οὔσης. Ἤδει δὲ καὶ ὡς φῶς τὸ ἀχειροποίητον, φημὶ δὴ τὸ ἄνωθεν ἐκ τοῦ πατρὸς τῶν φώτων καταβαῖνον καὶ ἄϋλον, καὶ χερσὶν ἀνέπαφον καὶ οὐδὲ ὅλως εἴτ᾽ οὖν ποτε καυστικόν, ἧς ἂν ἐπεδράξατο ὕλης, εἴ γε ὅλως καὶ δῶμεν ὕλης τινὸς τὸ ἄϋλον εἰς φαῦσιν εἶναι ἐπιδεές. Ἀπόρροια γάρ τις οὖσα καὶ οἷον ἀπόμοιρα τοῦ ἐν τῇ παλλιγγενεσίᾳ ἀνεσπέρου ἐκείνου φωτός, ἐν ᾗ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, καυστικῆς ἐνεργείας πάμπαν ἀπήλλακται, ὡς οὐχὶ τοῦ ἐμπύρου τοῦδε φωστῆρος, ἀλλὰ τοῦ νοητοῦ τῆς δικαιοσύνης ἡλίου ὂν ἀπαύγασμα, ὃς ὡς δρόσος φησὶν ἔσται τῷ Ἰσραὴλ καὶ φῶς αἰώνιον. Καὶ τί λέγω φῶς; Ὁπότε οὐδὲ φλὸξ ἀχειροποιήτου πυρὸς καίειν ὅλως πέφυκεν ἧς ἂν ἅψαιτο ὕλης. Οὔτε γὰρ ὁ ὑπὸ τὸ Σινᾶ βάτος ἐκεῖνος ἐν φλογὶ πυρὸς καιόμενος κατεκαίετο, οὐθ᾽ ἡ σκηνὴ τοῦ μαρτυρίου ἐπυρπολεῖτο, νεφέλης ἐν ὕλῃ πυρὸς οὕτως αὐτὴν καὶ κατακαλυπτούσης καὶ πληρούσης, ὡς μὴ δύνασθαι τὸν Μωυσῆν εἰσελθεῖν εἰς τὴν σκηνήν. Ἀλλ᾽ οὐδὲ τοῦ Σινᾶ αἱ ἐπ᾽ αὐτοῦ ἕως τοῦ οὐρανοῦ καιόμεναι λαμπάδες πυρὸς ἥψαντο ὅλως. Τὰς γὰρ ἐφ᾽ ἕνα ἕκαστον τῶν ἀποστόλων ἀφλέκτως καθεσθείσας ὡσεὶ πυρὸς γλώσσας παρήσειν μοι τέως δοκῶ. Ἡ δὲ ὑγρόϋλος ἐκείνη καὶ ἀμυδρόφωτος φλὸξ ἐκδαπανήσασα μὲν τὴν ἑαυτῆς πνευματώδη καὶ φλογοτρόφον ὕλην, τὴν ἐκ τῆς αὐτομάτως ὑφάπτειν πεφυκυίας πυρίτιδος κόνεως ἐξάπτουσαν, σβεσθεῖσα μᾶλλον δὲ ἐκλιποῦσα οἴχεται, παχυτέρας δέ τινος ὕλης δραξαμένη τοῦ πυρὸς οὐδὲν ἔλαττον αὐτὴν ἐπινέμεται, ἐξ οὗ ἐδόκει φωτὸς ἀπύρου εἰς καυστικὸν αὐτόχρημα πῦρ μεταβάλλουσα, μᾶλλον δὲ ἑαυτὴν ὁποία τις οὖσα τὴν φύσιν ἐν προοιμίοις ἐλάνθανεν ἐξελέγχουσα. Ἢ οὐχὶ πῦρ οὖσα ἐλέγχεται, ἥτις δέσμας ὅλας κηρίων κατέδεται; Εἰ δέ που καὶ τὸ ἀχειροποίητον εἴτ᾽ οὖν ἐξ οὐρανοῦ πῦρ ἀναλωτικόν, ὅ ἐστι καυστικόν, ὦπται, ἀλλ᾽ οὐχὶ πῦρ, ἀλλὰ φῶς φασι καὶ ἄπυρον καὶ ἁπτὸν εἶναι τὴν ἐπὶ τοῦ μνημείου ἀμυδρόφωτον ἐκείνην ἀνάχυσιν. Τίνα οὖν λόγον τὸ ἐν προοιμίοις καὶ ἄπυρον, ὥς φασι, καὶ ἁπτὸν ἐκεῖνο φῶς εἰς πῦρ ἀναφές τε καὶ παμφάγον μετὰ βραχὺ μεταβάλλει

μὴ προκειμένων μήτε νομικῶν θυσιῶν εἰς ὁλοκαύτωσιν, μηθ᾽ ὧν τὸ ἀχειροποίητον πῦρ εἰώθει ἐκ θεομηνίας κατέδεσθαί, φημι δὴ γογγιστῶν τινων ἢ Κοριτῶν ἢ Ἀχαὰβ ἀποστόλων; Ποῦ δὴ καὶ εὕρηται τῆς Γραφῆς ἢ τὸ ἀναλωτικὸν πῦρ ἐξ ἀπύρου φωτὸς μεταβεβληκὸς ἢ τὸ ἄπυρον φῶς εἰς πῦρ μεταβάλλον; Ὅτι δὲ οὐκ ἄπυρος, ἀλλ᾽ ἔμπυρός ἐστι καὶ καθ᾽ ἑαυτὴν ἡ ἀμυδρόφωτος ἐκείνη καὶ ἀδρανόφλοξ ἀνάχυσις μάρτυς, ἵνα, ἃ κατέδεται κηρία ἐάσω, καὶ αὐτὸς οὗτος ὁ ὑφ᾽ οὗ, ὥς φασιν, ἐξέδωκε φωτὸς διερρηγμένος ὑποδεικνύμενος κίων, εἴ γε οὐχὶ φωτὸς ἀπύρου, ἐμπύρου δὲ μάλιστα φλογὸς καὶ ἁπλῶς πυρὸς τὸ ῥήσσειν τὰ ἐν οἷς ὅπως ποτ᾽ ἂν ἅψοι στεγανοῖς σώμασιν, ἵνα τί δὴ μὴ ὥσπερ ἐκ τοῦ ἐπιταφίου λίθου οὕτω τοι καὶ ἐκ τοῦ κίονος ἀρρήκτως τὸ φῶς τηνικαῦτα ἐξέθορεν; ἢ οὐχὶ πρόδηλον ὡς ἐμβόλιμον ἔσχεν ὁ κίων ἐγχειριδίῳ τρηθείς, ἣν ὡς ῥευστὴν οὐχ οἷός τε ἦν ἐπὶ τῆς ὀρθίας καὶ κυλινδρικῆς ἐπιφανείας ἀρρεύστως συσχεῖν μέχρι τῆς αὐτομάτου ἐξάψεως πνευματώδη ὕλην; Ἵνα τί δὲ καὶ τῶν Ἀρμενίων, ὥς φασι, τὸ τηνικαῦτα τὸ τοῦ Κυρίου μνῆμα προκατασχόντων οὐχὶ ἐκ τῆς ἐν τῷ βήματι ἱερᾶς τραπέζης, τῆς τὸν τάφον τοῦ Κυρίου τυπούσης, ἀνεδόθη τὸ φῶς, ἀλλ᾽ ἐκ τοῦ ἔξωθεν κίονος; τί γὰρ κοινὸν κίονι καὶ τῷ ζωοδόχῳ τάφῳ; τίνα δ᾽ αὖ λόγον οὕτινος τοῖς Ἀρμενίοις τὸ τηνικαῦτα ὁ φωτοδόχος τοῦ Κυρίου τάφος ὡς ἀναξίοις μεταδοῦναι, ὥς φασιν, οὐκ ἠξίωσε, τούτου σφίσιν ὁ φωτεκφόρος κατ᾽ ἔτος ὡς ἀξίοις μεταδίδωσι τῶν χαρίτων τῇ μὲν τοῖς πιστοῖς, τῇ δὲ τοῖς Ἀρμενίοις, ἅμα καὶ ὡσαύτως φωτοδοτῶν; Οὐδὲν γὰρ διοίσει εἴτε ἀμέσως ἀπὸ τοῦ τάφου εἴτε ἐμμέσως διὰ τῆς φωτεκφόρου ὕλης τοῖς ἀναξίοις Ἀρμενίοις ὅσα καὶ τοῖς ἀξίοις πιστοῖς τὸ ἐπιτάφιον φῶς μεταδιδόμενον. Καὶ δῆτα δυοῖν ἀνάγκη θἄτερον ἢ μὴ κἀκείνοις φωτοδοτεῖν ἢ τὸν διερρωγότα κίονα κατορύττειν, ὡς μηδ᾽ ὁρᾶσθαι τὸ σύνολον, εἴ γε Ἀρμενίοις φωτοφορία καὶ κίονος, ἵνα μὴ φωτοφορῶσι, ῥῆξις ἀλλήλοις ἀσυμβίβαστα. Ἀλλ᾽ ὁ κίων, φασί, ἐρράγη, οὐχ᾽ ἵνα μὴ κἀκεῖνοι φωτοφορῶσιν, ἀλλ᾽ ἵνα μὴ πρῶτοι ἐκεῖνοι φωτοφορήσαντες τὴν τῶν πρωτείων ἀνατρέψωσι, ταὐτὸν εἰπεῖν, ὑφαρπάσωσι τάξιν, οἱ ἔσχατοι πρῶτοι γενόμενοι. Καὶ μὴν εἰς ἔλεγχον, μᾶλλον δὲ καὶ ἀνατροπὴν τῆς περὶ τὰ πρωτεῖα ἀταξίας αὐτάρκης οὖσα μόνη ἡ τοῦ εἰθισμένου φωτὸς ὑποστολή, περιττήν, μᾶλλον δὲ καὶ περίεργον ἐλέγχει τὴν τοῦ κίονος φωτοπάροχον ῥῆξιν, τοῦ μηδέν, ὡς εἴρηται, κοινὸν πρὸς τὸν τοῦ Κυρίου τάφον ἔχοντος, καθότι καὶ τὸν Κάϊν ὁ Θεὸς οὐδὲν ἄλλο ἢ ἐπὶ ταῖς θυσίαις αὐτοῦ μόνον μὴ προσχὼν ἀπεδοκίμασεν. Εἶτα ὁ τὸν κίονα, ἵνα μὴ τάξις πρωτείων ἀνατραπῇ, ἐξερρωγότα δεικνύς, πῶς ποτε αὐτὸς περὶ τὸν τῆς φωτοφανείας καιρὸν ἀτακτεῖ πρωθύστερον φωτεκφορῶν; ἢ γὰρ οὐχὶ καὶ οὗτος τὰ τῆς ἀναστασίμου πρεσβεῖα προαρπάζων τῷ πρὸ αὐτῆς νεκρωσίμῳ Σαββάτῳ ταῦτα ἀτάκτως κληροδοτεῖ, τὸ μὲν Σάββατον ταῖς τῆς ἀναστασίμου φωτοφανείαις καταγλαΐζων, τὴν δὲ ἀναστάσιμον τὸ μὲν εἰς τὴν ἰδίαν ἑαυτῆς φωτοφάνειαν ἧκον ἀφωταγώγητον ἄγων, ἣ δὲ κακείνη, λαμπαδουχεῖ μέν, οὐ

μὴν οἴκοθεν, ἀλλ᾽ ἐκ τῆς τοῦ Σαββάτου φωτοφανείας μεταλαβοῦσα τὸ φῶς ταύτῃ γε τὰ δευτερεῖα ἔχουσαν δεικνύς. Ἀλλ᾽ οὐδὲ ὑπὲρ πρεσβείων, φασίν, ἡ ἐκ τοῦ διερρωγότο ςκίονος φωτοφάνεια, ἀλλ᾽ ὡς κατ᾽ ἐξαίρετον τοῖς Ἱεροσολυμίταις ἄνωθεν, ὅ ἐστιν ἀρχῆθεν, ἀποκεκληρωμένον ἐν θεοσδότῳ φωτοφανείᾳ ἄγειν τὴν τοῦ Κυρίου ἀνάστασιν, τοῦ οὐδαμοῦ, ἀλλ᾽ ἢ ἐν Ἱεροσολύμοις εὐδοκήσαντος τὰ τῆς ἐνσάρκου οἰκονομίας ἐκτελέσαι. Καὶ τούτου, φασί, σαφὴς ἀπόδειξις αὐτὸς οὗτος ὁ ζωοδόχος τοῦ Κυρίου τάφος κατ᾽ ἔτος διδοὺς ἀχειροποίητον φῶς, οὗτινος κατασχεθέντος τὸ τηνικαῦτα ὑπὸ τῶν Ἀρμενίων τὸ ἐκείνου φῶς ἐκ τοῦ διερρωγότος ἀνέθορε κίονος. Πόθεν οὖν δῆλον ὡς καὶ ἡ ἐκ τοῦ διερρωγότος κίονος φωτοφάνεια καὶ ἐπιτάφιος καὶ ἀχειροποίητος ταὐτὸν εἰπεῖν θεόσδοτος τοῦ μηδέν, ὡς εἴρηται, κοινὸν πρὸς τὸν ζωοδόχον τάφον ἔχοντος, ὁπότε, οὐδ᾽ αὐτή, ἡ ἀπό, μᾶλλον δὲ ἡ ἐπὶ τοῦ ζωοδόχου τάφου, ὁμολόγου ἀχειροποίητος ὡς οὐκ ἐν ταῖς ἁπάντων ὄψεσιν, ἀλλὰ καὶ ἐν ἀπροσίτῳ σκότει (φημὶ δὴ ἐν ἀθυριδώτῳ καὶ κεκλεισμένῳ τῷ κουβουκλίῳ) καὶ ἐν πανυπόπτοις προφυλακαῖς τε καὶ προδιαθέσεσιν ὑφισταμένη τε καὶ ἀναδιδομένη; Πῶς δὲ καὶ ἀρχῆθεν λέγουσι τοὺς Ἱεροσολυμίτας ἐν θεοσδότῳ φωτοφανείᾳ τελεῖν τὸ Πάσχα, οἱ ἀδυνατοῦντες δεῖξαι, ἣν λέγουσι θεόσδοτον φωτοφάνειαν ἐμφαινομένην ὑπὸ τῆς τοῦ Κυρίου ἀναλήψεως ἄχρις οὗ ὁ μέγας Κωνσταντῖνος σὺν τῷ Γολγοθᾷ καὶ τὸν τοῦ Κυρίου τάφον εἰς τοὐμφανὲς ἀναχώσας κατέστησεν. Εἰ δὲ φήσουσιν, ὡς ἐξ ὅτου ὁ ζωοδόχος τάφος εἰς τοὐμφανὲς κατέστη, ἔκτοτε καὶ τὸ ἀχειροποίητον φῶς ἀναδίδοται, οὐκοῦν, ἐπειδὴ οὐδὲ τοῦτο ἔκ τινος ἱστορίας ἀξιοπίστου πιστοποιεῖν ἔχουσιν (ὃ γὰρ ὁ Πέτρος κατὰ τὸν ἐκ Δαμασκοῦ φωστῆρα ἑωράκει ἐν τῷ τάφῳ φῶς εἰκὸς ἐκλιπεῖν τοῦ τάφου, ἄχρις οὗ ἡ μακαρία βασιλὶς Ἑλένη αὐτὸν ἀνεκάθηρε τοῖς τῆς πόλεως, ὡς ὁ λόγος, φορητοῖς τε καὶ περικαθάρμασι κατακεχωσμένον) ἐάσθων, εἰ δοκεῖ, (καὶ μηδεὶς ἡμᾶς ταύτης τῆς περιεργείας καταιτιάσθω ἀκαταιτίωτον εἰδὼς τὸν ἐπὶ τοῖς τοιούτοις πολλῷ ἡμῶν περιεργότερον Θωμᾶν) ἐάσθων, φημί, αἱ μὲν ἔν τε τῷ ναῷ καὶ τῷ κουβουκλίῳ ἀπῃωρημέναι φωταγωγοὶ εἴτ᾽ οὖν κανδῆλαι ἀνεπισκεύαστοι (λέγω δὴ τό τε ἔλαιον καὶ τὰς θρυαλλίδας ἀνεγκαινίαστοι) ἀψηλάφητοί τε καὶ ὅλως ἀνέπαφοι, ἡ δὲ τοῦ κουβουκλίου θύρα ἀνεῳγμένη, μᾶλλον δὲ ἐκ περιουσίας καὶ θυρίδες πάντοθεν, κύκλῳ φημὶ τοῦ κουβουκλίου, ἐξανοιγέσθωσαν (ἡ γὰρ ἀκριβὴς περιέργεια καὶ αὐτὸ τὸ ἀθυρίδωτον κουβούκλιον περιαιρεῖσθαι ἐθέλει), ἵνα ᾖ καὶ αὐτὸς οὗτος ὁ ἐπιτάφιος λίθος πανταχόθεν πᾶσι τοῖς περιεστῶσι ὅλος καθ᾽ ὅλην αὐτοῦ φημὶ τὴν ἐπιφάνειαν διαφαινόμενος (τί γὰρ κωλύει μὴ ἐν σκοτομήνῃ, ἀλλ᾽ ἐν ὄψεσι πάντων ὁρᾶσθαι τὴν ἀρχὴν ἀναθρῶσκον εἴτ᾽ οὖν ἀναχεόμενον τὸ ἐπιτάφιον ἐκεῖνο φῶς, εἴ γε καὶ κατὰ τὸν ἀπόστολον πᾶν τὸ φανερούμενον φῶς ἐστιν, ἢ οὐχὶ καὶ Ἠλιοῦ τῆς ἰδίας θυσίας, τὸ πάντῃ ἀνεπίληπτον πραγματευόμενος ἐπ᾽ ὄψεσι πάντων καὶ κατακλυσμῷ ὑδάτων αὐτὴν ἐσπαργάνωσε καὶ τὸ οὐράνιον πῦρ κατήγαγεν οὐχὶ πάλαι ἢ ἄρτι ὁλοκαυτωμένην (ὡς οἱ ἱερεῖς τοῦ

Βὴλ πάλαι δεδαπανημένα τὰ παρατιθέμενά οἱ) ἀλλ᾽ ἤδη μᾶλλον ὁλοκαυτουμένην αὐτὴν παριστάς. Οἱ δὲ θυρωροὶ ἀποστήτωσαν, μᾶλλον δὲ στήτωσαν μὲν οὐ μὴν οἱ ἐθισμένοι Ἀγαρηνοί, ἀλλὰ τῶν παρεπιδήμων προσκυνητῶν οἱ περιεργότεροι. Οἱ δὲ τοιοῦτοι φιλοπραγμονήσαντες πρότερον αὐτοψεὶ τοῦ ἐπιταφίου λίθου τὴν ἐπίπεδον ἐπιφάνειαν, μᾶλλον δέ, εἰ δοκεῖ, καὶ τὸν λίθον αὐτὸν ὅλον ὕδατι καθαρῷ αὐτοχείρως ἀποσμήξαντες, οὐ μὴν ἀλλὰ καὶ ὑδρίας ὕδατος κατὰ ζῆλον Ἠλιοὺ ἢ καὶ μὴ τρίς, ἅπαξ γοῦν, ἐπιχέαντες, στήτωσαν ἔπειτα ἔξωθεν (πρὸ τῆς θύρας ἀνεῳγμένης, ὡς εἴρηται) ἐκ διαδοχῆς διείργοντες πρὸ παντὸς αὐτοῦ τούτου τοῦ φωτεκφόρου τὴν εἴσοδον, μᾶλλον δὲ καὶ τὴν παρουσίαν αὐτήν, ἀπὸ τῆς πρωΐας τῆς μεγάλης πέμπτης ἄχρι πρωΐας τῆς ἀναστασίμου, κἀπειδὰν ἐπιφωσκούσης τῆς ἀναστασίμου φωταύγειά τις ἐπ᾽ ὄψεσι πάντων ὀφθῇ αὐτομάτως ἐπὶ τοῦ μνημείου ἀναθρώσκουσα, εἴτ᾽ οὖν ἀναχεομένη τε καὶ ἐπικυμαίνουσα, τηνικαῦτα προσκληθεὶς εἰσίτω ὁ φωτεκφόρος (εἴθ᾽ ὁ Ἱεροσολυμίτης εἴτε τις ἄλλος τῶν παρεπιδήμων ἐπισκόπων, καθ᾽ ὅτι οὐχὶ μείζων ἢ κρείττων ἡ διακονία ἐκείνη τῆς ἀναιμάκτου θυσίας, ἧς συλλειτουργὸς γίνεται ἐν ἑκάστῃ παροικίᾳ πᾶς παρεπίδημος εἴτ᾽ οὖν ὑπερόριος ἐπίσκοπος) καὶ περιδραξάμενος ἀμφοῖν, ὥς φασιν, ταῖν χεροῖν, ὁποῖον ποτ᾽ ἂν ᾖ τὴν ἁφήν, φημὶ δὴ τὴν ὕλην, τὸ χαμερπῶς ἐπικυμαῖνον ἐκεῖνο ἔξαμμα, εἴτε ἔμπυρόν φημι εἴτε ἄπυρον, (μὴ γὰρ δὴ οὕτω φρενῶν ἐκσταίημεν ὥστε τοῦ ὑλικοῦ τοῦδε εἴτ᾽ οὖν ἡλιακοῦ καὶ ἁπλῶς φυσικοῦ φωτός, αὐτοῦ καθ᾽ ἑαυτὸ ἀναφοῦς ὄντος τὸ ὑπερφυὲς χείραπτον οἴεσθαι) πυρσευέτω τοῖς ἔξω, ἐν οἷς ἧψε σπιρτοδεύτοις κηρίοις· οὕτω γὰρ ἂν εἴη καὶ προνοούμενος κατὰ τὸν ἀπόστολον καλὰ ἐνώπιον καὶ Θεοῦ καὶ ἀνθρώπων καὶ συνείδησιν ἔχων ἀπρόσκοπτον καὶ πρὸς τὸν Θεὸν καὶ πρὸς τοὺς ἀνθρώπους, ἔτι μὴν καὶ οὗ ὑποδείκνυσι διερρωγότος κίονος πολλῷ ἀξιοπιστότερον. Εἰ δὲ μόνος μὲν καὶ καθ᾽ ἑαυτὸν τὰ ἐντὸς τοῦ ἀθυριδώτου κουβουκλίου ἐν σκοτομήνῃ προδιαθέμενος καὶ κατασφραγίζειν τὴν τούτου θύραν ἀξιῶν καὶ θυρωροὺς ἀποτόμους ἐφίστησιν (οὐχὶ ἵνα μὴ παρά του φῶς, ὥς φασιν, ἐπεισαχθῇ χειροποίητον· πῶς γὰρ μυριάνδρου τῶν θεωρούντων περιεστώσης πληθύος; ἀλλ᾽ ἵνα μὴ ἡ τοῦ χειροποιήτου φωτὸς λανθάνουσα προδιάθεσις ὑπανοίξαντός του τὴν θύραν φωραθῇ). Τὰς δὲ ὑπὸ τοῦ νεωκόρου σύμπαντα τὸν ἄλλον χρόνον ἐπισκευαζομένας ἐν τῷ ναῷ φωταγωγούς, φημὶ δὴ τὰς ἀπῃωρημένας κανδήλας, τὸ τηνικαῦτα μόνος αὐτὸς αὐτοχείρως περιιὼν προσδιασκευάζει (ἵνα δῆλον ὅτι μία τις τούτων τῆς ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ ἤδη προόδου τῆς ἐν τῷ κουβουκλίῳ προδιαθέσεως τῇ ταυτοπαθείᾳ προάγγελος γένηται). Σημείου γὰρ ἔξωθεν προφανοῦς τῆς ἔσωθεν ἀφανοῦς εἴτ᾽ οὖν ἐγκλείστου φωταγωγίας μὴ προεπισκευασθέντος, εἰκὸς μὴ κατ᾽ αὐτὴν ταύτην τὴν φωταγωγίαν, ἀλλὰ μικρὸν πρὸ αὐτῆς καὶ μετ᾽ αὐτὴν ἤδη διαπνευσθεῖσαν εἰσελθόντα καθ᾽ ἑκατέρας τὰς εἰσόδους διαμαρτεῖν τῆς φωτεκφορίας. Τῶν δὲ ἀνὰ χεῖρας κηρίων τὰ φωτύλια κτενίῳ προαναξαίνει καὶ σικεροπνεύματι εἴτ᾽ οὖν σπίρτῳ

ἐπιδεύει, ἵνα μὴ ἡ ὑγρόϋλος ἐκείνη ἐμπυραύγεια τὸ τῆς ἰδίας ὕλης πνευ-
ματῶδες καθ᾽ ἑαυτὴν δαπανήσασα μετὰ βραχὺ ἀποπνεύσῃ, ἀλλὰ διὰ συγ-
γενοῦς πάλιν ὕλης· πνευματῶδες γάρ τι καὶ τὸ σπίρτον τῶν κηρίων ἁψα-
μένη διαρκὴς ᾖ, ἐπιτρέπει δὲ τὴν φωτεκφορίαν οὐδενί, τῶν παρεπιδήμων
ἐπισκόπων, οὐδ᾽ ἂν ᾖ τις τούτων τὴν ἀρετὴν καὶ τὴν ἁγιότητα ἄλλος ἀδελ-
φόθεος, ἀλλ᾽ ἢ αὐτῷ μόνῳ· τῶν δ᾽ αὖ περιεστώτων προσκυνητῶν καὶ αὐτὸν
εἰ τύχοι τὸν σφόδρα ἐπιφανῆ καὶ αἰδέσιμον, ἔτι μὴν καὶ σύμπαντας τοὺς
ἄλλους τῇ χρηματοδοσίᾳ παρευδοκιμήσαντα, εἴπερ τῆς θύρας ἤδη ἀνοιγο-
μένης τῷ φωτεκφόρῳ περιέργως συνεισελθεῖν πειραθείη, εἰσπεσόντες ἀθρόως
οἱ θυρωροὶ οὕτως αὐτὸν τῶν ἐν χερσὶ φραγκελλομαστίγων ταῖς νιφάσι
διατιθέασιν, ὡς μικροῦ φοράδην αὐτὸν οἴκαδε ἀπάγεσθαι. Ἔστ᾽ ἂν φημι
ταῦτα ἐπιτηδεύηται, οὐδ᾽ ἂν πλείους ὑποδειχθῶσι διερρωγότες κίονες, οὐθ᾽
οὕτω πτοήσουσιν ὅλως οἱ ἐν αὐτοῖς ὑπεμβόλιμοι πρηστῆρες τοὺς τὸν ζωο-
δόχον τοῦ Κυρίου τάφον καὶ δίχα τῆς φωτοφανείας οὐδὲν ἧττον καὶ πανσέ-
βαστον ὄντα εἰδότας καὶ πάντιμον καὶ προσκυνητόν· τὸ γὰρ τὴν παντὸς
μᾶλλον πιστωτικὴν περιέργειαν τῶν κατὰ Θωμᾶν φιλοπραγμόνων ὑποπαραι-
τεῖσθαι, ἣν οὐθ᾽ ὁ Κύριος ἡμῶν ἀπεποιήσατο, ἔλεγχος ἂν εἴη σαφὴς τοῦ
δραματουργίαν αὐτόχρημα εἶναι, ἅττα καὶ διὰ πολλῶν ἄλλων ὁ λόγος
ἐξήλεγξεν, οὐχ ὡς ταῖς θεοσημείαις ἐξαπιστεῖν· τί γὰρ ἀδυνατεῖ τῶν θεοπρεπῶν
τῷ Θεῷ, ἀλλ᾽ ὡς εἰδὼς τὰ μὲν ἀρχαῖα σημεῖα κατά τε τὰς γλώσσας καὶ τὰς
προφητείας πάλαι πεπαυμένα, τὴν δὲ ἐπιτάφιον ἐκείνην φωταγωγίαν οὔτε
ἀρχαίως ποθὲν ἀποδεδειγμένην, ἀλλὰ καὶ θεόσδοτον ἄλλως ὑποτεθεῖσαν ἔκ γε
μὴν τῶν περὶ αὐτὴν ἐπιτηδευμάτων ἀποφάσκουσαν τοῦθ᾽ ὅπερ καὶ λέγεται·
τὰ γὰρ παρὰ τῶν ἐν προοιμίοις ἀξιοπίστων ἐκείνων ἀνδρῶν περὶ αὐτῆς
εἰρημένα παρήσειν μοι τέως δοκῶ ὡς καὶ παρά τινων ἄλλων ἁγιοταφιτῶν
ἔστιν οἷς τῶν τὴν φωτεμπορίαν διελεγχόντων ὑποψιθυριζόμενα. Σκοπεῖν
δ᾽ ἐπὶ πᾶσι τοῖς εἰρημένοις κἀκεῖνο· ὁμόλογον ὡς ἡ τῶν ἑκασταχοῦ ἐκκλη-
σιῶν ἱερὰ τράπεζα τυποῖ, ὡς προείρηται, τὸν τοῦ Κυρίου τάφον. Τί οὖν δή-
ποτε οἱ Ἱεροσολυμῖται δέον μάλιστα ἐπ᾽ αὐτοῦ τούτου, τοῦ τῶν ἱερῶν τρα-
πεζῶν ἀρχετύπου, τοῦ ἐπὶ τοῦ τάφου, φημί, ἁγίου λίθου λειτουργεῖν, οἱ δὲ
ἐπὶ τούτου μὲν οὐδαμῶς, ἀλλαχοῦ δὲ προσφέρουσιν ἢ πάντως δι᾽ ἣν ἐπ᾽ αὐτοῦ
οἱ παπίσται καὶ οἱ Ἀρμένιοι καὶ Χαμπέσιοι τελοῦντως μιαρὰν καὶ κατὰ τὸν
ἱερομάρτυρα Κυπριανὸν βέβηλον ἑαυτῶν τελετὴν βεβηλοῦσιν οὐ λέγω τὸν
ἐν μυχοῖς τοῦ Κυρίου τάφον· οὗτος καὶ γὰρ οὐχ ὅπως τοῖς παρεπιδήμοις
προσκυνηταῖς, ἀλλ᾽ οὐδ᾽ αὐτῶν τῶν ἁγιοταφιτῶν τοῖς πλείστοις ἁπτός, μᾶλλον
δὲ οὐδὲ ὁρατὸς ὅλως ἐν ἀδύτοις, ὡς εἴρηται, μυχοῖς κείμενος, ἀλλὰ τὸν ἐπιτά-
φιον λίθον (εἰ γὰρ αἱ τῶν ἀσεβῶν θυσίαι βδέλυγμα τῷ Θεῷ κατὰ τὸν παροι-
μιαστήν, οἱ δὲ αἱρετικοὶ κατὰ τοὺς ἀποστολικοὺς κανόνας εἰσὶ καὶ ἀσεβεῖς
καὶ ἄπιστοι, αἱρετικοὶ δὲ καὶ οἱ Λατῖνοι ὡς τῆς αὐτῶν πρὸς ἡμᾶς δια-
φορᾶς περὶ τῆς εἰς Θεὸν πίστεως καὶ ἁπλῶς περὶ δόγματος οὔσης, ὥσπερ

ἐστὶν ὁ ὅρος τῆς αἱρέσεως κατὰ τὸν α΄ κανόνα τοῦ μεγάλου Βασιλείου καὶ αἱ τῶν Λατίνων ἄρα θυσίαι καὶ ἁπλῶς αἱ ἀτέλεστοι τελεταὶ βδέλυγμά εἰσι τῷ Θεῷ ταὐτὸν εἰπεῖν ἀκάθαρτοι)· μιαίνεται γὰρ ἐκ τῶν ἀκαθάρτων οὐ μόνον τὰ κοινὰ κατὰ τὸν Ἀγγαῖον καὶ τοὺς ἀποστολικοὺς κανόνας (46), ἀλλὰ καὶ τόπος ἱερὸς καὶ ναὸς ἅγιος κατὰ τὸν Δαυΐδ. Ὁ γοῦν ἐπιτάφιος ἐκεῖνος λίθος, ὁ οὐ μᾶλλον διὰ τὸν ἐνδόμυχον τοῦ Κυρίου τάφον ἅγιος ἢ διὰ τὴν ἐπ᾽ αὐτοῦ τῶν βεβήλων αἱρετικῶν τελετὴν βέβηλος κἀντεῦθεν τῆς ἀναιμάκτου θυσίας ἀνεπίδεκτος ὅπως ποτὲ φωτός, ὥς φασιν, ἁγίου γίνεται ἐπιδεκτικός. Ἐπεὶ δὲ πρὸ τούτου ὁ λόγος ἠξίου τοὺς τῶν ἐν Ἱεροσολύμοις ἱερῶν τόπων φιλοθεάμονας πέμπειν μᾶλλον ὥς ποτε ἡ Μακεδονία καὶ Ἀχαΐα ἣν ἂν ἐκεῖ γινόμενοι ἐχορήγησαν τοῖς τῷ ζωοδόχῳ τάφῳ προσεδρεύουσιν εὐλογίαν, αὐτοὺς δὲ μένοντες κατὰ χώραν κερδαίνειν μὲν τὰς καθ᾽ ὁδόν τε καὶ ἐπάνοδον καὶ πολυμόχθους καὶ πολυδαπάνους, ἔστι δὲ οἷς καὶ ἐπικινδύνους ταλαιπωρίας κερδαίνειν δὲ καὶ ὅσα ἂν παρὰ τὴν εἰρημένην εὐλογίαν τῶν ἐκεῖ Ἀγαρηνῶν τοῖς τοποτηρηταῖς τε καὶ ὁδοστάταις προσεπεχορήγησαν· (τούτων καὶ γὰρ ταῖς εἰθισμέναις εἰσπράξεσιν εἶεν ἂν ἱκαναί, μᾶλλον δὲ καὶ ὑπερίκανοι αἵ τε ἐν μιᾷ ἑκάστῃ τῶν ἁπανταχοῦ τῆς γῆς ἐκκλησιῶν καθ᾽ ἑκάστην μεγαλώνυμον ἡμέραν καὶ ἀπαραιτήτως καὶ προηγουμένως γινόμεναι λογίαι καὶ αἱ τῶν ἑκασταχοῦ μετοχίων ἁδραὶ συνεισφοραὶ παρεκτὸς ὧν ἥ τε τοῦ προέδρου καὶ μάλιστα ἡ τῶν ὑπ᾽ ἐκείνου ἐξαποστελλομένων παγκόσμιος περιήγησις ἐκ περιουσίας συνεισφέρει καὶ ἐμπόρων ἐμπορίας καὶ ναυκλήρων ποντοπορίας καὶ εὐπόρων περιουσίας καὶ ἀπόρων ὑστερήματα καὶ ἀπερίττων αὐταρκείας καὶ τεθνεώτων διαθήκας καὶ ἁπλῶς ὀλίγου δεῖν ἅπαντας ζῶντάς τε καὶ νεκροὺς δασμολογοῦσα, τῶν δὲ ζώντων τοὺς πλείστους καὶ δι᾽ ὧν μάλιστα σφισι τὴν τῶν ὧν πνευματικοῖς πατράσι προεξηγόρευσαν περιττῶς, ὡς ἂν εἴποι τις, μνηστεύεται ἔγγραφον, ἵνα μὴ λέγω ὠνητὴν ἄφεσιν). Κερδαίνειν δέ φημι διανέμοντας ταῦτα τῶν πατριωτῶν τοῖς ἐνδεέσιν, ἵνα ὥσπερ ὑπὲρ ἧς ἔπεμψαν εὐλογίας, οὕτω τοι καὶ ὑπὲρ ὧν τοῖς ἀδελφοῖς τοῦ Χριστοῦ μᾶλλον ἢ Ἀγαρηνοῖς τε διένειμαν κἂν ταῖς ὁδοιπορίαις ἀνήλωσαν ἔχωσι τὸν μισθόν. Ἐπεί, φημι, οὕτως ἠξίου ὁ λόγος. Ἐξεδόθη δὲ συνοδικὸν τοὺς τὴν τοιαύτην ὁδοιπορίαν κωλύοντας ἐπιτιμίοις καθυποβάλλον, ῥητέον δὲ καὶ πρὸς τοῦτο ὅτι οἱ κανονικῶς ἐπιτιμητέοι τῶν παρ᾽ ἐντολήν τι ποιούντων ἢ λεγόντων ὁμόλογοί εἰσι κατὰ τὸν β΄ κανόνα τῆς ἐν Τρούλλῳ καὶ ἁπλῶς τῶν ἐντολήν τινα ἐκκλησιαστικὴν εἴτ᾽ οὖν κανονικὴν ὅπως δήποτε παραλυόντων (καὶ γὰρ τὸ δεσμεῖν καὶ λύειν καὶ κατ᾽ αὐτὸν τὸν Κύριον, τὸν τούτου τὴν Ἐξουσίαν τοῖς ἀποστόλοις καὶ δι᾽ ἐκείνων τοῖς ἐκείνων διαδόχοις δόντα, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπὶ μόνων τῶν ἁμαρτημάτων ἔχει τὴν χώραν· λάβετε γάρ φησι Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς, ἄν τινων κρατεῖτε κεκράτηνται). Ἁμαρτήματα δὲ τὰ διὰ τῶν πνευματοληπτῶν δετέα ἢ λυτέα εἰσὶν οὐ πάνθ᾽ ὅσα ἁπλῶς τοῖς αὐτοῖς ἀπαρέσκει, ἀλλὰ μόνα τὰ ἐν παραβάσει θείας ἐντολῆς τολμώμενα. Ἀλλὰ μὴν τῆς εἰρημένης ὁδοιπο-

ρίας μὴ οὔσης τῶν κατ᾽ ἐντολὴν καὶ κατ᾽ αὐτοὺς τούτους, τοὺς περὶ τὸν μακαριώτατον Χρύσανθον (ἐν τῷ προσκυνηταρίῳ τῆς Ἱερουσαλήμ), οἱ ταύτην ὀνησίμως εἴτ᾽ οὖν ἐπικερδῶς καὶ τοῖς τῷ ζωοδόχῳ τάφῳ προσεδρεύουσι καὶ τοῖς κωλυομένοις κωλύοντες οὐ τῶν παρ᾽ ἐντολήν τι ποιούντων ἢ λεγόντων εἰσίν, ὡς μηδεμίαν ἐντολὴν ἐντεῦθεν λύοντες, οὐκ ἄρα τοῖς παρὰ κανόνα, ἵνα μὴ λέγω ἀλόγοις ἐπιτιμίοις, ἐνέχονται. Ἄρα γὰρ ματαία ὡς ὄρνεα πετόμενα καὶ στρουθοὶ οὐδενὶ ἐπελεύσεται κατὰ τὸν παροιμιαστήν. Δειχθήτω πρότερον ἐντολὴ οὖσα ἡ εἰς Ἱεροσόλυμα προσκυνήσεως χάριν ὁδοιπορία, εἶθ᾽ οὕτως ἐπιτιμάσθωσαν οἱ ταύτῃ προσιστάμενοι, μᾶλλον δὲ πολὺ πρὸ τούτων σύμπαντες οἱ τὴν ὁδοιπορίαν ἀποδημεῖν ἐνὸν ἑκοντὶ παραιτούμενοι, εἴ γε τὰ τῆς ἐντολῆς οὐχ οἱ μέν, οἱ δὲ οὔ, ἀλλὰ σύμπαντες ἁπλῶς ἐκπληροῦν ἀπαραιτήτως ὀφείλουσι, ἔστ᾽ ἂν δὲ καὶ ὑπ᾽ αὐτῶν τούτων τῶν ἐπιτιμώντων οὐ τῶν κατ᾽ ἐντολὴν οὖσα ὁμολογεῖται ἀργεῖ καὶ τὰ ἐπιτίμια, ἐπεὶ εἴη ἂν πρὸ πάντων καὶ μετὰ πάντων ὁ μέγας τῆς ἐκκλησίας φωστήρ, ὁ Νύσσης, λέγω, Γρηγόριος, ἐπιτιμώμενος, ὁ ὁπωσδήποτε κωλύων τὴν εἰς Ἱεροσόλυμα ἀποδημίαν.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

ΔΩΔΕΚΑ ΕΝ ΑΝΔΡΩ ΒΥΖΑΝΤΙΝΑ ΜΟΝΑΣΤΗΡΙΑ

ΜΕΤ᾽ ΑΝΕΚΔΟΤΩΝ ΠΑΤΡΙΑΡΧΙΚΩΝ ΣΙΓΙΛΛΙΩΝ ΚΑΙ ΑΛΛΩΝ ΕΓΓΡΑΦΩΝ

Περὶ τῶν ἐν Ἄνδρῳ μοναστηρίων τῆς Ἁγίας Εἰρήνης, τοῦ Παντοκράτορος καὶ τῆς παρὰ τὰ Ἀποίκια Ἁγίας Μαρίνης διελάβομεν ἀλλαχοῦ ἐν ἰδίοις φροντίσμασι[1], λίαν δὲ προσεχῶς δημοσιεύομεν ἐκτενεῖς μελέτας περὶ τῶν ἐν τῇ αὐτῇ νήσῳ μονῶν τῆς Ζωοδόχου Πηγῆς τῆς ἐπικεκλημένης Ἁγίας, τῆς Παναχράντου καὶ τοῦ Ἁγίου Νικολάου εἰς τὰ Σόρα. Ἐν τῇ μετὰ χεῖρας μελέτῃ πραγματευόμεθα περὶ τῶν λοιπῶν ἐν Ἄνδρῳ μονῶν, δώδεκα τὸν ἀριθμόν, ἤτοι περὶ τῶν μονῶν Ἁγίου Ἀντωνίου, Ζωοδόχου Πηγῆς εἰς τὴν Φυρρόην, Λαύρας ἢ Ἁγίου Ἀθανασίου, Ἁγίου Λεοντίου, Φιλετρῶν, Ἀλην οῦ, Ἁγίας Μαρίνης Κατακοίλου, Ἁγίας Μονῆς, Ἁγίας Ζώνης, Παναγίας Παλατιανῆς, Ἁγίου Κυπριανοῦ καὶ Τρομαρχίων. Κατὰ ταῦτα, αἱ ἐν Ἄνδρῳ μοναί, αἱ γνωσταὶ τοὐλάχιστον εἰς τὸν γράφοντα, ἀνέρχονται ἐν συνόλῳ εἰς δέκα καὶ ὀκτώ.

ΜΟΝΗ ΑΓΙΟΥ ΑΝΤΩΝΙΟΥ

Τῆς παλαιοτάτης ταύτης ἐν Ἄνδρῳ Βυζαντινῆς μονῆς, ἡ ὁποία ἦτο γυναικεία, δὲν σῴζεται πλέον σήμερον οὐδὲν ἄλλο, ἢ ὁ ἀκραιφνῶς βυζαντιακοῦ ρυθμοῦ ναός, ὅστις ἀνηγέρθη κατὰ τὸ ἔτος 1141. Κεῖται παρὰ τὸ χωρίον Βουνὶ τοῦ Κορθίου.

Ἔπαυσε δ᾽ ὑφισταμένη ἡ μονὴ τοῦ Ἁγίου Ἀντωνίου ἀπὸ τοῦ ἔτους 1659, ὅτε, ἀρχιερατεύοντος ἐν Ἄνδρῳ τοῦ Αὐξεντίου[2], διελύθη αὕτη, καθ᾽ ἃ

[1] Δ. Π. Πασχάλη, Τὸ ἐν Ἄνδρῳ γυναικεῖον μοναστήριον τῆς Ἁγίας Εἰρήνης, μετ᾽ εἰκόνων καὶ ἀνεκδότων ἐγγράφων. Ἐν Ἀθήναις, 1930.—Ἡ ἐν Γαυρείῳ τῆς Ἄνδρου μονὴ τοῦ Παντοκράτορος καὶ τρία ἀνέκδοτα περὶ αὐτῆς σιγίλλια Μελετίου τοῦ Πηγᾶ, πάπα καὶ πατριάρχου Ἀλεξανδρείας καὶ τοποτηρητοῦ τοῦ οἰκουμενικοῦ θρόνου, καὶ Ῥαφαὴλ Β´, οἰκουμενικοῦ πατριάρχου. Ἐδημοσιεύθη ἐν περιοδ. «Θεολογίᾳ», τ. Ι´ (1932), σ. 213 - 229 καὶ ἐν ἰδιαιτέρῳ τεύχει. — Μονὴ Ἁγίας Μαρίνης Ἀποικίων. «Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν», ἔτ. ΙΑ´ (1935), σ. 29 - 47.

[2] Περὶ τοῦ Ἄνδρου Αὐξεντίου Παρόδου Βλ. Δ. Π. Πασχάλη, Ἀναγραφὴ χρονολογικὴ τῶν ἀπὸ Χριστοῦ ἀρχιερατευσάντων ἐν τῇ νήσῳ Ἄνδρῳ ἀπὸ Ζωΐλου (362) μέχρι Μητροφάνους († 1889) καὶ εἰδήσεις ἱστορικαὶ περὶ αὐτῶν, ἐν περιοδ. «Θεολογίᾳ», τ. Δ´ (1926), σ. 283 - 5 καὶ ἐν ἰδιαιτέρῳ τεύχει. Βλ. ὀλίγα τινὰ περὶ τοῦ Ἄνδρου Αὐξεντίου καὶ ἐν «Μεγάλῃ Ἑλληνικῇ Ἐγκυκλοπαιδείᾳ», τ. ΙΘ´, σ. 737, ἐν λ.

πληροφορούμεθα ἐξ ἐγγράφου ἐπὶ μεμβράνης σῳζομένου ἐν τῷ κειμηλιοφυ-
λακείῳ τῆς μονῆς Παναχράντου, εἰς τὴν ὁποίαν περιῆλθον καὶ τὰ κτήματα
τοῦ μονυδρίου τούτου, ὅπερ σήμερον εἶνε μετόχιον τῆς ὡς εἴρηται μονῆς
Παναχράντου. Τὸ περὶ οὗ ὁ λόγος ἐπὶ διφθέρας ἔγγραφον ἔχει ὧδε:

† Ἐπειδὴ καὶ πρὸ καιροῦ νὰ ἦτον ἕνα μοναστήρι γηναίκιο εἰς τὸ μέρος
τοῦ ἄνω κάστρου λεγόμενον Ἅγιος Ἀντώνιος, εἰς τὸ ὁποῖον μοναστήρι ἐκατι-
κοῦσαν καλογρηαῖς μερικαὶς καὶ ἐκηβερνοῦσαν καὶ τὰ ἀφιερομένα πράγματα
ὁποῦ ἀφιέροσαν οἱ παλαιοὶ καὶ ἦχαν καὶ ἱερέα καὶ ἱεροῦργα τὸν ναὸν τοῦ
Ἁγίου, ὅμως τόρα θεοῦ θέλοντος ἀπέθαναν ἥ καλογρηαῖς καὶ ἐπάρθησαν
καὶ δὲν ἀπόμειναν πάρεξ δύο, αἵ ὁποῖαι μὴ δυνάμεναι κυβερνήσαι μήτε τὸν
ναόν, μήτε τὰ πράγματα, ἀλλὰ ἐπήγεναν πάντα σὲ φθορά, ἦλθαν ἔμπροσθεν
τοῦ πανιερωτάτου ἥμῶν αὐθέντου καὶ δεσπότου κὺρ Αὐξεντίου, παρόντων
τῶν ἐντιμοτάτων κληρικῶν καὶ χρισυμοτάτων ἀρχόντων καὶ ἔκαμαν παρέτη-
σιν λέγοντας πῶς δὲν πορούν νὰ κάθουνται νὰ μονάζουν εἰς τὸ αὐτὸ Μονα-
στήριον, ἀλλὰ πάνε ὁποῦ τοὺς ἤθελε φανῆ. Τὴν σήμερον γενομένης Συνόδου
παρὰ τοῦ πανιεροτάτου αὐθεντὸς καὶ δεσπότου ἀρχιεπισκόπου κὺρ Αὐξεν-
τίου καὶ τῶν ἐντιμοτάτων κληρικῶν καὶ χρυσιμοτάτων ἀρχόντων, γνώμῃ κοινῇ
ἀποφασίσαμεν ὅπως τὸ αὐτὸ Μοναστήριον νὰ τὸ δόσωμεν εἰς τὸ Μοναστή-
ριον τῆς Παναχράντου νὰ τὸ ἔχουν καὶ νὰ τὸ ἐξουσιάζουν, νὰ κυβερνοῦν τὰ
πράγματα καὶ νὰ ἱερουργοῦν καὶ τὸν Ἅγιον καὶ νὰ μνημονέβουν τοὺς κτή-
τορας, καὶ νὰ πληρόνουν καὶ τὸ χαράτζι τὸ αὐθεντικό, μὴ δυναμένου τινὸς
ἐναντιωθῆναι, ἐπειδὴ καὶ νὰ ἔγινεν μὲ γνώμην ὅλην κάτω κάστρου καὶ ἄνω
κάστρου. Ὅθεν εἰς βαιβέωσιν ἔγινεν τὸ παρὸν γράμμα συμφονιτικὸν εἰς
ἀσφάλειαν.

Κατὰ τὸ ,αχνθ΄, ἰανουαρίου κε΄.

† *Ὁ ἄνδρου Αὐξέντιος*

	Λεονάρδος Καΐρης	*παπᾶ Νικόλαος*
† *οἰκονόμος ἄνδρου*	*Ἀλέξανδρος Ἀθανάσιος*	*πα'' : ἰω : πα'' : Μάρκου*
† *σακελλάριος ἄνδρου*	*Ἰω. Σκαλιστήρης*	*πα'' : ἰω : ταπόντες*
† *σκευοφίλαξ ἄνδρου*	*Δημήτριος Πολέμης*	*πα'' : αὐγουστῆς*
† *χαρτοφύλαξ ἄνδρου*	*Τζάνες Ταπόντες*	*πα'' : ἰω : Κεραμᾶς*
† *πρωτέκδικος ἄνδρου*	*Αὐγουστῆς Ταπόντες*	*πα'' : Ἰω : Ξένος*
† *ῥεφερενδάριος ἄνδρου*	*πετικᾶς Ταπόντες*	*πα'' : Νικ. Κρασᾶς*
† *λογοθέτης ἄνδρου*	*βασίλειος λογοθέτης*	*πα'' : γιάκουμος φίφις*
† *πρωτονοτάριος ἄνδρου*	*Μιχαὴλ Τελαγραμάτικας*	*πα'' : ἰω : Καλογρίδης*
† *ὑπομνηματογράφων ἄνδρου*	*αὐγουστῆς ταπόντες*	*πα'' : Νικ. π'' : Μαθᾶ*
	Γιανούλης	

Ἄλλαι περὶ τῆς μονῆς ταύτης τοῦ Ἁγίου Ἀντωνίου πληροφορίαι δὲν
σῴζονται.

ΜΟΝΥΔΡΙΟΝ ΠΑΝΑΓΙΑ ΖΩΟΔΟΧΟΣ ΠΗΓΗ ΕΙΣ ΤΗΝ ΦΥΡΡΟΗΝ

Περὶ τοῦ μονυδρίου τούτου δὲν ἔχομεν ἄλλας πληροφορίας, πλὴν ἐκεί-
νων, τὰς ὁποίας δυνάμεθα ν' ἀρυσθῶμεν ἐκ τῶν ἑπομένων δύο ἀνεκδότων
ἐγγράφων. Ἐκ σημειωμάτων δὲ μόνον, σῳζομένων ἐν τῷ κώδικι τῆς ἐν Γαυ-
ρείῳ μονῆς Ἁγίας μανθάνομεν, ὅτι τὸ μονύδριον τοῦτο, Παναγία Φυρ-
ρόγια κοινῶς ὀνομαζόμενον, ἔκειτο παρὰ τὸ χωρίον Ὑψηλοῦ τοῦ τ. δήμου
Ἄνδρου, ἄνωθεν τοῦ Νιμποργιοῦ. Οὐδὲν σῴζεται σήμερον ἐκ τοῦ μονυδρίου
τούτου ἢ μόνον τὰ ἐρείπια τοῦ ναοῦ, μήκους ὅσον 6 μέτρων, μετὰ τῶν μαρμα-
ρίνων παραστάδων, καλῶς ἐπεξειργασμένων. Ἄλλοτε μετόχιον τῆς προμνη-
σθείσης ἐν Γαυρείῳ μονῆς τῆς Ἁγίας, περιῆλθεν ἀπὸ ἱκανοῦ χρόνου εἰς
ἰδιωτικὰς χεῖρας. Τὰ προαναφερθέντα περὶ τοῦ μονυδρίου τούτου ἔγγραφα
ἔχουσιν ὧδε:

ᾳφπγ΄, μηνὸς σεπτεμβρίου κα΄.

† προκαθημένου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς ἁγιωτάτης ἐπισκο-
πῆς ἄνδρου καὶ τῶν ειμιωτάτων ἀρχόντων τῶν ὑποκάτωθεν γεγραμμένων.
σϋμεὼν ϊερομόναχος καὶ ἀρχιμανδρίτης παρούσης καὶ τῆς κερὰ ἀνέζας ποτὲ
συμβίας τοῦ μακαρίτου μαστρο παυλῆ διαπούλη, θέλοντας καὶ αὐτηνῆς ὅτι
μετὰ τὴν ἀποβίωσίν μου τὸ μοναστήριον ὅπου ἔκτισα εἰς τὴν παναγίαν τὴν
λεγομένην ζωοδόχον πηγὴν εἰς τὴν φυρόην νὰ εἶναι ἀφιερωμένον εἰς τὸ
μοναστήριον τῆς ἁγίας εἰς τὴν καψοράχην μὲ εἴ τι πράγματα ἔλαβον ἀπὸ
τὴν ἄνω κερὰ ἀνέζαν, καθὼς εἶναι γραμμένα εἰς τὴν γραφὴν τῆς καντζελα-
ρίας καὶ τῆς σϋνοδικῆς καὶ καθὼς ἐμιλεῖ καὶ τὸ χωγγέτι, πληρόνοντας τὰ
δικαιώματα τῆς ἄνωθεν κερὰ ἀνέζας ἕως τὴν ζωήν της, καὶ εἰς τὸν θάνατον
αὐτῆς καὶ ἐμοῦ νὰ εἶναι κληρονόμος τὸ ἄνωθεν μοναστήριον τῆς ἁγίας ἐλεύ-
θερα καὶ νὰ πληρόνει τῆς ἐπισκοπῆς κάθε ἔτος κερὶ λίτρες μία· καὶ ὅσα ὀνό-
ματα εἶναι γραμμένα εἰς τὸ μοναστήριον τῆς ζωοδόχου πηγῆς νὰ γραφῶσιν
καὶ εἰς τὸ μοναστήριον τῆς ἁγίας, νὰ μνημονεύονται· μὲ τοῦτο νὰ κάθημαι
ὅσο ποῦ θέλω εἰς τὸ αὐτὸ μοναστήριον, νὰ μὴν ἠμπορεῖ κανεὶς νὰ μὲ δια-
σείσῃ ἕως τὴν ζωήν μου, καὶ τὰ ῥοῦχα μου νὰ εἶναι τῆς ἐξουσίας μου ἕως
τὴν ζωήν μου, καὶ εἰς τὸν θάνατόν μου εἴ τι εὑρεθῶσιν εἰς τὸ κελίον μου
Ὥρα χειμῶνος ἦν ἀπιόντι καὶ σφοδροτάτη ποθὲν ἐκ νεφῶν κατηνέχθη νιφάς· παγετὸς ταύτῃ καὶ ψῦχος συνήθως ἐφείπετο, τὸ ἐπιπολάζον ἅπαν καταλιθοῦν τῆς ὑγρότητος. Ἐν τούτῳ δὴ φθάνει καὶ αὐτὸς κρυστάλλῳ πεπεδημένον τὸν ἐν ποταμοῖς μὲν θάλασσαν, ἐν θαλάσσῃ δὲ ποταμόν, Δανούβιόν γε τοῦτον, ⟨ὃν⟩ καὶ Ἴστρον οἱ πάλαι καὶ νῦν ὀνομάζουσιν ἄνθρωποι. Ἐν ἀμηχάνῳ δὲ ποιούμενος τὴν περαίωσιν, ταῖς ὄχθαις παρεκαθέζετο τὸν ἀψευδῆ βοηθὸν ἐκκαλούμενος· δέος γὰρ εἶχεν αὐτὸν τῷ κρυστάλλῳ πιστεῦσαι τὸν κίνδυνον ὑφορώμενος. Εἰ γὰρ καὶ πολλοῖς ἠφειδηκόσι παρίστατο ἑαυτῶν τὰ νῶτα πεζεύειν τοῦ ποταμοῦ τῷ κρυστάλλῳ θαρρήσασιν, ἀλλ' αὐτός γε παρῄνει τὸ παράβολον ἐκκλίνειν καὶ κινδυνῶδες τοῦ ἐγχειρήματος.

Οὕτως δ' ἀπορρουμένοις αὐτοῖς, φθάνει κἀνταῦθα παρὼν ὁ τρισόλβιος μάρτυς τῷ πίστει καλοῦντι βοηθὸς ἀπλανής. Ἀπονυστάξαντος δ' ἐπιστάς, 'μὴ δὴ προσεδρεύων, ἔφη, ἐπὶ πλέον ἀλύῃς τῷ ποταμῷ, ἀλλὰ χερσὶ κατέχων ἅπερ ἐπικομίζει τῶν ἡμετέρων ἀτρόμῳ ποδὶ τὰ νῶτα πατῶν τοῦ ποταμοῦ περαιώθητι.' Ὁ δὲ τῇ ὄψει τὴν πίστιν ῥωσθείς, ἅμα πρωῒ μετὰ χεῖρας ἔχων τὰ ἅγια προηγεῖτο τῶν ἄλλων ὡς ἐν ξηρῷ τῷ ὑγρῷ ἐπιὼν καὶ σὺν ἅμα τῷ πλήθει παντὶ τῶν θ' ὑπασπιζόντων καὶ τῆς θεραπείας αὐτῆς χάριτι τοῦ τρισ-

---

9 *πρὸ τῆς ἐπικεφαλίδος* + Ε' *τὸ χειρόγραφον* Q 11 δὲ Q: δὴ B 12 ἀνεφόρου Q 15 σύνοδον Q ἔχειν — ἐκεῖνον Q: αὐτὸν ἐκεῖνον εἶχε B 21 μὲν om. B 22 γε om B ⟨ὃν⟩ om. QB

μάκαρος παρῆλθε τοῦτον ἀσφαλὴς καὶ σῳζόμενος, τρανῇ τῇ φωνῇ τὸν τερατουργὸν ἀνυμνῶν θεὸν καὶ Δημήτριον. Οὐ μὴν ἀλλὰ κἂν τῷ Σιρμίῳ γενόμενος, ἀρχεῖον τοῦτο τῆς σφῶν ἐπαρχότητος, πρὶν ἢ τὸν πόδα τῆς πορείας διαναπαῦσαι, ζεούσης ἔτι τῆς πίστεως, ὡς εἶχε τάχους, σηκὸν ἕτερον κἀκεῖσε τῷ ἁγίῳ σωτήριον ἀνεδείματο, κἂν τούτῳ τὴν τιμίαν σορὸν τῶν μαρτυρικῶν ἀμφίων ἱεροτελῶς ἐναπέθετο, οὐχ ἑαυτῷ μόνῳ ἀρραγεστάτην βοήθειαν, ἀλλὰ καὶ πᾶσι τοῖς ἐποικοῦσι κρήνην θαυμάτων ἀείρυτον ἱδρυσάμενος.

Τὰ μὲν οὖν περὶ τὸν πιστότατον Λεόντιον τοσαῦτα καὶ τηλικαῦτα τοῦ θεομάρτυρος τὰ θαυματουργήματα, χρόνῳ μὲν ἐμοὶ δοκεῖν πρεσβύτερα, ἀρχαιοτέροις ἀντιγράφοις καὶ τῇ γε ἀκολουθίᾳ πιστεύσαντι, ὅθεν καὶ τὰ πρεσβεῖα τῆς τάξεως τούτοις ἀποδεδώκαμεν. Τὰ δ᾽ ἐφεξῆς τῷ ἐν ἁγίοις Ἰωάννῃ συγγεγραμμένα ἀκολούθως τῇ τάξει λελόγισται καὶ συντέτακται[1] δεύτερα, τὸ παράπαν παρεκτροπὴν οὐδεμίαν προσδεξαμένων τῶν ὑποθέσεων, ὅτι μὴ κατὰ μόνην τὴν ἐπιτομὴν καὶ τοῦτο συναφῆς ἕνεκεν τῶν λοιπῶν διὰ τὸ εὐμαθὲς καὶ εὐσύνοπτον. Ἔχει δὲ καὶ ταῦθ᾽ ὧδέ πως.

[Περὶ Μαριανοῦ τοῦ Ἐπάρχου τῆς ἰάσεως]

8. Γέγονεν οὐ πολλοῖς ὕστερον χρόνοις Μαριανός τις τῶν ἐπιδόξων ἀνὴρ συγκλήτῳ βουλῇ καὶ αὐτῷ τιμώμενος βασιλεῖ. Τούτῳ πείρᾳ πραγμάτων καὶ ἀγχινοίᾳ πολλῶν διαφέροντι τὴν ἔπαρχον τῶν ἰλλυριῶν ἰθύνειν ἀρχὴν ἐμπιστεύουσιν οἱ τὸ τηνικαῦτα τὰ ρωμαίων διέποντες. Ἀλλαξαμένης ἤδη τῆς αὐτῶν καθιδρύσεως τοῦ Σιρμίου, Θεσσαλονίκην οὗτος δικαιοσύνης ταύτην καταλαβὼν ἀντεποιεῖτο θερμῶς καὶ ταύτῃ τὸ ὑπήκοον παρεῖχε θαρρεῖν καὶ θεὸν ἔπειθεν ἐπὶ μᾶλλον ὑμνεῖν δι᾽ εὐνομίας τὰ κατ᾽ αὐτοὺς χειριζόμενος καὶ μέντοι καὶ αὐτὸς ταῖς ἐκ τῶν δήμων εὐφημίαις οὐκ ἀγεννῶς ἐσεμνύνετο. Ἀλλ᾽ οὐκ ἦν τῷ τοῦ γένους ἐχθρῷ φορητὸν ἐπὶ πολὺ ταῦτα δὴ καθορᾶν, τὸν πικρὸν τοῦ φθόνου προσεπιβάλλοντι ὀφθαλμόν· τούτῳ γὰρ θᾶττον ὡς ἔθος διακαυθείς, ὅλην ἐπὶ τὸν ἄνδρα τῶν βελῶν τὴν φαρέτραν κεκένωκε, πολλαῖς ἅμα καὶ διὰ πολλῶν παρατάξεων λογισμῶν περιελαύνων τὸν πόλεμον, ὃν δὴ καί τις τῶν πρὸ ἡμῶν, ὥσπερ ἔφθην πλατύτερον διηγούμενος, ἔφη σοφῶν ἑπταπλασίως ἐπιστρατεῦσαι διὰ τῶν ἑπτὰ τῆς κακίας αὐτῷ λογισμῶν, ἑκάστῳ τούτων κατὰ μέρος τὰς ἑλεπόλεις τῶν πειρασμῶν προσφερόμενος. Ἀλλ᾽ ἔλαθεν ἑαυτὸν μᾶλλον αἰσχρῶς ἢ ἐκεῖνον κατενεγκὼν ὁ ἐχθρός.

[1] Πβλ. Migne, P. G. 116 στ. 1204 - 1224.

13 παρεκτροπὴν οὐδεμίαν Q μηδεμίαν παρεκτροπὴν B 16 *πρὸ τῆς ἐπικεφαλίδος* + ς′ *τὸ χ/φον* Q / ἐπάρχου corr.] ὑπάρχου QB· *Πβλ. τὰ ἀνωτέρω σελ.* 330 *λεχθέντα* 18 τούτῳ] τοῦτον Q 19 διαφέροντα Q | ἔπαρχον corr.] ὕπαρχον QB 28 παρατάξεσι B / συλλογισμῶν Q· *πβλ. ἐν τούτοις στίχ.* 11 *ἔνθα καὶ τὸ* Q *παραδίδει* λογισμῶν

ἐγκρατείᾳ γὰρ τὴν γαστριμαργίαν ἀντέστη νικῶν, τῷ περιόντι τῆς ἀρετῆς, καὶ θεὸν βοηθὸν ἐπαγόμενος, τὴν φιλαργυρίαν φιλοπτωχίᾳ, τὸν θυμὸν τῇ πραΰτητι, δειλίαν δὲ καὶ ἀκηδίαν καὶ φόβον τῷ εὐτόνῳ καὶ ἀνδρείῳ τῆς ψυχῆς ἐξεκρούσατο, ἀκολούθως τε τὸ διάκενον τῆς δόξης δοξάριον τῇ ταπεινοφροσύνῃ ἀποσεισάμενος.

Ἀπογνοὺς οὖν τῇ πανοπλίᾳ ταύτῃ τὸν ἀνταγωνιστὴν ὁ ἀλάστωρ ἑλεῖν, τὴν πάλαι πεῖραν ἀνέλαβε καὶ τῶν σαρκῶν αὐτοῦ καὶ τῶν ὀστέων καθήψατο κατὰ τὸν πάλαι Ἰὼβ αἰτησάμενος. Ἔκειτο οὖν τῷ ἐχθρῷ βληθεὶς ὁ ἀνὴρ ἕλκει πονήρῳ ἀπὸ κεφαλῆς μέχρι ποδῶν τὰ πάντα νεκρὸς πλὴν τοῦ ἐμπνεῖν καὶ μικρὸν ἀποφθέγγεσθαι. Ἀπειρηκότων οὖν ἐπ᾽ αὐτῷ καὶ τέχνης καὶ ἰατρῶν, ὁ ἐχθρὸς λοχῶν οὐκ ἀπείρηκεν, ἀλλὰ παρῄει τὸν φίλον ὑποκρινόμενος καὶ συμβουλίαις προσχρώμενος ταῖς αὐτοῦ. Ἑνὶ γὰρ τῶν παίδων ὀργάνῳ χρησάμενος ἐβουλεύετο ἐπῳδῆς ἀνασχέσθαι μικρᾶς καὶ ταχὺ τὴν νόσον ἀπαγαγεῖν, δεινοτέρᾳ ταύτῃ πολλῷ περιβαλεῖν ὁ δείλαιος μηχανώμενος, ὅσῳ δεινότερον μὴ παρὰ τοῦ θεοῦ, παρὰ δὲ τῶν ἐκπεπολεμωμένων ἐκείνῳ τὴν σωτηρίαν διαπρεσβεύεσθαι, καὶ ταῦτα μηδ᾽ ἐξὸν ὂν ἐκεῖθεν ταύτης τυχεῖν. Ἀλλ᾽ οὐδὲ τοῦτον αὐτοῦ τὸν δόλον ἠγνόησεν ὁ πιστὸς τῷ ὄντι καὶ ἀγχίνους Μαριανός. Προσελθόντος γὰρ τοῦ παιδὸς καὶ μεμβράνην ἀφάψαι τοῦ τραχήλου καθικετεύοντος καὶ ταύτῃ τὴν νόσον ἐναποκρούσασθαι ὁ συνετὸς οὐ προσήκατο, εἰ μὴ πρότερον γνοίην εἰπὼν τῶν γεγραμμένων τὴν δύναμιν. Ἀπειρηκότος δὲ τοῦ παιδὸς τὴν ἀνάγνωσιν, ὅτι μηδὲ ἀγνώστων, φησίν, ἀγγέλων ὀνόματα, μήτε μὴν τῶν ἑβραϊκῶν στοιχείων τὴν δύναμιν ἐξόν ἐστι συνιδεῖν τὸν τούτων ἀμύητον, οἷς ἡ μεμβράνη σεσήμασται, ὡς πορρωτάτω διώσατο γοητείας φωράσας κατάπλεων, ζῆν μὲν εἰρηκὼς ἐθέλειν βουλομένου Χριστοῦ, οὐδαμῶς δὲ τῇ τῶν ἀπωσμένων ἐπικουρίᾳ ἐχθρῶν.

Οὕτω δὴ καὶ παρὰ τοιούτῳ καιρῷ ὁ γενναῖος Μαριανὸς τὴν πρὸς θεὸν μὲν πίστιν ἀδίστακτον, πρὸς δὲ τὸν ἐχθρὸν τὸ μῖσος ἀνένδοτον ἐνδειξάμενος τὴν ἄνωθεν εὐμένειαν ἐπεσπάσατο· ἔγνω γὰρ παραυτίκα τῷ θαυματουργῷ προσδραμεῖν Δημητρίῳ, ὃν δὴ καὶ καθικετεύειν οἴκοι μένων ἔτι θερμῶς ἐναπήρξατο, φωνῇ μὲν ἀμυδρᾷ καὶ μόλις διηχουμένῃ, θερμῇ δὲ καὶ ζεούσῃ τῇ διανοίᾳ, τὰ γὰρ ἄλλα πάντα πάντῃ παρεῖτο τῇ ἀπλήστῳ πληγῇ τοῦ ἐξητηκότος· ὅθεν καὶ θεῖον αὐτῷ ἐπιστάντα κατεπλούτισεν ὄνειρον, ʻἐπίστασαί με,ʼ λέγοντα, ʻΔημήτριον ὄντα φίλον τὸν σόν, ἐλθὲ δὴ εἰς οἶκον ἐμόν, ὅς ἐστι μέσον τῆς πόλεως καὶ τεύξῃ τῶν δι᾽ ἐφέσεως ὄντων σοι.ʼ

9. Διυπνισθεὶς οὖν ὁ ἔπαρχος καὶ συμβαλὼν ὡς πρόσκλησίς ἐστι τὸ ὅλον τοῦ ἁγίου τὸ ὅραμα, φορείῳ κομιζόμενος, εὐθὺς ἄπεισιν ὡς αὐτὸν καὶ παρὰ τὴν θήκην τοῦ ἁγίου τὴν εὐνὴν τῷ ἐδάφει σχεδιασάμενος, δακρυρροῶν καθι-

1 ἐγκράτεια Q 17 τὸν om. B 21-22 ἀγνώστων, φησίν, ∾ B 35 ἔπαρχος corr.] ὕπαρχος QB

κέτευε τὸν προσδραμόντα φιλανθρωπίᾳ καὶ συγκαλέσαντα. Ὡς δὲ εἰς ὕπνον ἐξ ἀδολεσχίας ἐτράπη τῆς προσευχῆς, ὁρᾷ πάλιν αὐτὸν ἐκεῖνον τὸν ἅγιον ἧπερ τὸ πρότερον ἐπιστάντα καὶ 'καλῶς', ἀκούει, 'πεποίηκας', φήσαντα, 'ὡς τὸν φίλον ἐλθών, δύναται γὰρ ὁ θεὸς δι' αὐτοῦ ὑγιάσαι σε'. Καὶ ἅμα λέγοντα τῆς κεφαλῆς αἴσθεσθαί γε προσεφαψάμενον καθεξῆς τε τοῦ τένοντος καὶ τῶν λοιπῶν μορίων τοῦ σώματος καὶ οἷον τῇ ἐπαφῇ διευθετῆσαι καὶ καταρτίσασθαι τὸ τ' ἀοίδιμον ἐκεῖνο ἐπιφθέγξασθαι πρόσρημα: «Χριστός σε ῥώννυσιν ὁ θεὸς ἡμῶν, ὁ ἀνορθῶν τοὺς κατερραγμένους»[1]. Ἅμα δὲ τῷ λόγῳ συναπελθούσης τῆς ὄψεως μᾶλλον ἢ τῆς νόσου, αὐτὸς τῇ ἐπισκιάσει, ἐπαφῇ τε καὶ ἐπιρρήσει τοῦ θεομάρτυρος ἐπιτυχὼν τῆς ἰάσεως, ἀνέθορέ τε παραυτίκα καὶ ἔστη ἐπὶ τοὺς πόδας κατ' ὄναρ ἔτι τοῦτο δρᾶν προσδοκῶν· οὔπω γὰρ τῷ ἀθρόῳ καὶ ῥᾳδίῳ τῆς ἀνεγέρσεως τὸ μεγαλουργὸν καὶ θεοτελὲς συνίει τοῦ θαύματος. Προϊούσης δὲ ῥᾷον τῆς ὥρας οὐχ ἧττον ἢ τῆς ἐνεργείας τοῦ σώματος, ἑαυτόν τε συνήγαγε καὶ τὸ ὑπερφυὲς συνῆκε καὶ κατεπλάγη τοῦ θαύματος καὶ τὰς ὡς εἰκὸς εὐχαρίστους μεγαλοφώνως ἀπεδίδου δοξολογίας θεῷ καὶ τῷ τερατουργῷ καὶ θεράποντι αὐτοῦ Δημητρίῳ. Βαδίσας τε παραυτίκα ποσὶν οἰκείοις τῷ ἁγίῳ πρόσεισι κιβωρίῳ καὶ τῇ θείᾳ προσφὺς εἰκόνι τοῦ μάρτυρος δάκρυσι καὶ φωνῇ αὐτάγγελος ἦν, ἐξηγούμενος ἅπασι τὰ κατ' αὐτὸν διαπρυσίως θαυμάσια, πολλά τε χρήματα διαδοὺς καὶ ἐπιμετρήσας τοῖς πένησι καὶ μετὰ πλειόνων μεγαλύνας τὸν ἰασάμενον, πορευόμενος ἄπεισιν οἴκαδε, αὐτῇ πορείᾳ τὸν μεγαλουργὸν τοῦ θαύματος μαρτυρόμενος.

Ὧδε μὲν οὖν καὶ ἡ κατὰ Μαριανὸν θαυματουργία συνετελέσθη τὸν Ἔπαρχον, ἡ δὲ μετ' αὐτὸν τοῦ τὴν αἱμόρροιαν νενοσηκότος καὶ τῆς ἰάσεως ἐπίσης ἐκείνῳ τετυχηκότος προσκείσθω τῇ ὑφηγήσει.

[Περὶ τοῦ τῆς αἱμορροίας ἰαθέντος]

10. Ἀνὴρ ἦν καὶ οὗτος στρατείᾳ καὶ γένει διάσημος καὶ τῶν ὑπασπιζόντων εἰς τῇ ἐπαρχικῇ ἐξουσίᾳ. Οὗτος εἰς τοὐμφανὲς πιπτούσης αἰτίας ἐξ οὐδεμιᾶς τῷ τῆς αἱμορροίας πάθει δεινῷ κάτοχος ἦν, ἐπὶ μακρῷ δὲ χρόνῳ ταύτῃ διατακεὶς καὶ τῶν ἀσκληπιαδῶν μὲν οὐδὲν ἀπονάμενος, ὅτι μὴ πλείστῃ καταβολῇ τῶν εἰς μάτην ἐκμετρηθέντων μισθῶν, πάσης δ' ἀνθρωπίνης ἀπογνοὺς βοηθείας ἐπὶ τὸν ἀλεξίκακον τοῦ ἁγίου καταφεύγει νεὼν ὑπὸ τῶν προσηκόντων φορούμενος, πατριᾶς ἁπάσης καὶ ἀγχιστείας ἐφεπομένης ὡς ἐξοδεύοντι. Παρῆν δὲ καὶ τῆς πόλεως μέρος οὔτι μικρὸν δακρυρροοῦν τὸν

[1] Ψαλμ. 144, 14.

5 αἴσθε γε Q 16 καὶ² om. Q 17 κιβουρίω B 23 ἡ om. Q / θαυματουργίας Q 26 *πρὸ τῆς ἐπικεφαλίδος* + Ζ' *τὸ χειρόγραφον* Q 28 ὑπαρχικῇ Q

ἄνδρα καὶ οἰκτιζόμενον, ἤθους γὰρ ἦν, ὡς λόγος, εὐθύτητι ποθητὸς καὶ τρόπων χρηστότητι. Εἴσω δὲ τοῦ ἱεροῦ παρελθὼν καὶ ἀγχοῦ που τῆς σεβασμίας σοροῦ τὴν στρωμνὴν καταθείς, δεήσεσι καὶ ἱκετηρίαις τὸν ἀδωρότατον ἰατρὸν καὶ θαυματουργὸν ἐξελιπάρει Δημήτριον ἐπιτυχεῖν τῆς ἰάσεως, ἀλλὰ μὴ τῇ ἀποτυχίᾳ τῆς σωτηρίας διελεγχθῆναι κρείττω συγχωρήσεως ἐπιφέρεσθαι τῶν ἁμαρτημάτων τὸ βάρος.

Ταύταις δυσωπηθεὶς ταῖς αἰτήσεσιν ὁ εὐπαραίτητος καὶ μειλίχιος τοῦ Χριστοῦ μάρτυς, φθάνει τούτου μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν ἰασάμενος. Ἐπιφανεὶς γὰρ καὶ μόνον τούς τ' ὀχετοὺς τοῦ αἵματος ἀνεξήρανε καὶ τὸ διερρυηκὸς ἤδη τῇ αἱμορροίᾳ καὶ ἐξίτηλον σῶμα γενόμενον συνέσφιγξε καὶ ἀνέρρωσε καὶ σὺν αὐτοῖς ἢ πρὸ αὐτῶν τὸ τῆς ψυχῆς ἀπαγὲς καὶ νωθρὸν πρὸς τὴν τῶν καλῶν ἐργασίαν ἀνέστησε, ῥαθυμίᾳ τὸ πρότερον παρειμένον καὶ τῆς τηλικαύτης ἀρρωστίας τῷ σώματι γεγενημένον παραίτιον. Καὶ ταῦτα πᾶσιν αὐτὸς ἐκεῖνος ὁ ἰαθεὶς ἐξομολογούμενος ἔπειθεν τρανῶς αἰσθέσθαι λέγων κατάμφω τούτων τῆς ἀνακτήσεως ἐπισκιάσει τοῦ θεομάρτυρος, ἐξ οὗ καὶ παρέστη πᾶσι τοῖς συνελθοῦσι τὸ τηνικαῦτα καὶ θεωμένοις αὐτὸν ἐκ παρειμένου γενόμενον ἄρτιον αὐθωρὸν καὶ ἁλλόμενον ἐξ ἀφώνου λαλίστατον, ἐξ αὐτῆς ζωωθέντα νεκρώσεως δοξολογεῖν διαρρήδην τὸν θεὸν καὶ τὸν μάρτυρα, πρὸ δέ γε πάντων αὐτὸς τρανῇ τῇ φωνῇ ἐξομολογούμενος τοῦ θεοῦ τὰ θαυμάσια καὶ αὐτοῖς ἀνακηρύττων τοῖς πράγμασιν ἰδίοις βαδίζων ποσὶ τὴν εἰς οἴκαδε ἵετο.

Τηλικαύτη μὲν οὖν καὶ οὕτω γέμουσα θαύματος καὶ ἡ κατὰ τῶν ἀνιάτων παθῶν τῷ ἁγίῳ δεδωρημένη δύναμις ἀναπέφηνεν. Ἀκόλουθον δὲ λοιπὸν καὶ περὶ τῆς κατὰ τῶν ἀκαθάρτων πνευμάτων ἐξουσίας δεδομένης αὐτῷ ἁμωσγέπως διασαφῆσαι· ἔδει γὰρ τὸν σπουδῇ καὶ προθέσει ἀποστολικὸν ἄνδρα γεγενημένον καὶ τοῖς ἀποστολικοῖς κατακοσμεῖσθαι χαρίσμασιν.

[Περὶ τῆς τοῦ δαιμονιῶντος ἰάσεως]

11. Ἤνεγκε δὴ ῥέων ὁ χρόνος τῆς σατανικῆς λεγεῶνος κατάπλεων ἄνθρωπον, ἀστικὸς ἦν καὶ αὐτὸς καὶ τῆς πατρίδος τὸ βλάστημα. Οὗτος ὑπὸ τῶν ἐνοικούντων δαιμονίων ἐκβακχευόμενος, κατήσθιεν ἑαυτὸν καὶ κατῄκιζεν ἀφειδῶς, τούς τε πειρωμένους ἐπέχειν αὐτὸν οἴκτῳ τῆς συμφορᾶς καὶ τῆς μανίας ἀναλαμβάνειν, θηριωδῶς ἐφαλλόμενος διεσπάρασσε καὶ κατέσπα πρὸς γῆν· τροπὴν γὰρ ἅτε δὴ πεπονθὼς δεινὴν τῶν αἰσθήσεων καὶ μήθ' ὅ,τι καὶ δράσοι, μήθ' ὅτι καὶ πάθοι συνείς, ἀλλόκοτον ἐδόκει θηρίον καὶ δυσμεταχείριστον.

7 ἀπαραίτητος B 23 ἀναπέφηκεν Q 27 *ὁ πρὸ τῆς ἐπικεφαλίδος ἀριθμὸς* Η' *εἰς τὸ χειρόγραφον* Q *ἀπεκόπη ὑπὸ τοῦ βιβλιοδέτου* 31 πεπειρωμένους Q

Τοῦτον οὕτως ἔχοντα χαλεπῶς οἱ γένει προσήκοντες κυριεύειν ἀπειρηκότες, ἀνδράσι γενναιοτέροις εἰς βοήθειαν συγχρησάμενοι, βίᾳ συνέσχον καὶ ὡς τὸν τοῦ ἁγίου ναὸν φέροντες ἥκουσιν. Πρὸς δὲ τῇ εἰσόδῳ γενόμενοι, τότε δὴ μάλιστα δυσεκβίαστον ἢ πρότερον τὴν εἴσοδον ἐκκρουόμενον ἐπεγίνωσκον καὶ κάμνοντες ἤνυον πλέον οὐδέν, δεδιέναι γὰρ ἐῴκει τοῦ ἐνοικοῦντος τὴν δύναμιν τῷ νεῷ τὰ δαιμόνια καὶ ταύτῃ τῷ ἐνεργουμένῳ συνεπισχύοντα διακωλύειν τὴν εἴσοδον. Ἱκετηρίοις οὖν φωναῖς ἐπεκαλοῦντο τὸν ἅγιον οἱ προσήκοντες, κατευνάσαι τῶν δαιμονίων τὸ φρύαγμα καὶ τῷ πάσχοντι τοῦ νεὼ διανοῖξαι τὴν εἴσοδον. Καὶ ὃς αὐτίκα παρῆν ἀόρατος βοηθός, τῷ λεγεῶνι τῶν δαιμονίων ἐπιτιμῶν καὶ τὸ θράσος τοῦ ἀντιβαίνοντος ὑποσπώμενος, τὴν δὲ παρουσίαν ἐγνώρισε τὸ παραυτίκα τῆς εἰσόδου ἄνετον καὶ ἐλεύθερον. Εἴσω δὲ τοῦ θείου γεγενημένοι νεώ, ὡς μόνον τῇ ἁγίᾳ σορῷ τὸν νοσοῦντα προσήγαγον, ἦν ἰδεῖν τὴν πονηρὰν ἐκείνην καὶ ἄμαχον δύναμιν, δι' ὧν σπαραγμάτων τὸν ἁλόντα κατῄκιζεν, αὐτὴν μᾶλλον τῇ τοῦ ἁγίου δυνάμει μαστιγουμένην καὶ ἐξωθουμένην εἰς γέενναν τὴν πατρῴαν κληρονομίαν. Οἷς γὰρ τὸν ταλαίπωρον βρασμοῖς καὶ σπαράγμασι κατῃκίσαντο ὁρατῶς δεδείχασιν ἄντικρυς ὡς αὐτοὶ μᾶλλον ἀοράτως εἰσεπράξαντο δίκας τῆς εἰς τὸ πλάσμα τοῦ θεοῦ δυσμενείας καὶ ἐπιθέσεως. Ὁ δέ, ὢ τοῦ θαύματος, τῇ τῶν δαιμόνων φυγῇ ἴσος τοῖς ἐκπνέουσι καὶ τῇ θέσει καὶ τῇ ὄψει γενόμενος καὶ πᾶσι τῷ ὄντι διαπεφωνηκέναι δοκῶν ἀθρόον τοὺς ὀφθαλμοὺς ὡς ἐξ ὕπνου ἀνοίγνυσι καὶ τὰ χείλη διάρας, εἶδέ τε καθαρῶς καὶ σωφρόνως ἐφθέγξατο· καὶ ἀπὸ τῶν τοιούτων σημείων τοῖς παροῦσιν ἐγνώρισεν, ὡς ὁ μέγας τοῦ Χριστοῦ μάρτυς Δημήτριος φυγαδεύσας ἀοράτως τῶν δαιμόνων τὸ στῖφος καὶ τῆς ἐξ αὐτῶν ἀχλύος διακαθάρας τὰ αἰσθητήρια, τὴν σφῶν ἐνέργειαν ἄτρεπτον αὐτῷ ἐχαρίσατο. Οὐ μὴν ἀλλὰ καὶ πᾶσιν ἔμφρονα παραυτίκα τοῖς προσήκουσι προηκάμενος τὴν δεδωρημένην αὐτῷ διεγνώρισεν ἴασιν, ἔφη γὰρ 'τί δή ποτε μήθ' ἑορτῆς παρούσης, μήθ' ἑτέρου τοῦ κατεπείγοντος, οὕτω παμπληθεῖ τῷ νεῷ προσεδρεύομεν'. Τοὺς δ' ἀνειπεῖν ἅπαν αὐτῷ τῆς δαιμονίας ἐπιφορᾶς τὸ ἀπόρρητον, σῶστρά τε τῷ ἰατῆρι τὴν ἐξομολόγησιν ἐγκελεύσασθαι καὶ εὐχαριστίαν προσενεγκεῖν, ὅτι τοι μὴ εἰδότα, φησίν, ὅπως ἔλθοι, ὅπως ἀπίῃ καὶ μάλα εἰδότα προσήκατο. Ὧν δὴ καὶ αὐτὸν παραυτίκα συνέντα τῷ ἁγίῳ προσπεσεῖν κἀπὶ πάντων θεοκλυτοῦντα τοὺς εὐχαριστηρίους τῷ εὐεργέτῃ ἀποδιδόναι, νόστου τε μεμνημένον ἤδη καὶ τῆς εἰς οἶκον ἐπιστροφῆς.

Τοιαῦτα καὶ κατὰ τῶν πονηρῶν καὶ ἀοράτων πνευμάτων τοῦ ἀθλοφόρου τὰ ἀριστεύματα, οὓς γὰρ μετὰ σαρκὸς ἔτι καὶ αἵματος κατεπάλαισεν,

2 συνέσχων B 3 ἥκουσιν corr.] ἥκασιν QB 13-14 σπαραγμῶν B· *πβλ. ἐν τούτοις στίχ.* 16 *ἔνθα καὶ τὸ χειρόγραφον τοῦτο παραδίδει* σπαράγμασι 25 πᾶσιν] πεῦσιν B 31 προσήκατο corr.] προήκατο QB 32 θεοκλητοῦντα B 33 ἐπιστροφῆς corr.] ἀποστροφῆς QB

εἰκότως καὶ παρὰ τῷ ἀθλοθέτῃ γενόμενος, τούτους ἐλαύνειν καὶ φυγαδεύειν οἷα πολεμίους ἐξηττημένους πεπίστευται.

Ἴδωμεν δὲ καὶ κατὰ τῶν ὁρατῶν ἐχθρῶν καὶ πολεμίων, οἷς θηριωδῶς ἐπιστρατεύειν φίλον ἡμῖν καὶ ταῖς ἐφόδοις πολιορκεῖν, ὅπως τὰς ἀντιπαρατάξεις ὁ τοῦ Χριστοῦ μάρτυς πεποίηται καὶ οἷα τὰ κατ' αὐτῶν ἀνέστησε τρόπαια, τῆς σφετέρας προασπίζων πατρίδος καὶ πόλεως.

[Περὶ λύσεως τῆς πολιορκίας τῆς πόλεως]

12. Μαυρίκιον εἶχεν ὁ τότε καιρὸς τὰ τῶν Ῥωμαίων σκῆπτρα χειρίζοντα. Τούτῳ ὁ τῶν Ἀβάρων ἀρχηγὸς πρεσβείαν ἐστείλατο περὶ συμμαχίας, συγκλήτου δὲ ψήφῳ ταύτης ἀποτυχών, μέγα μηνίων ἀπηλλάττετο τῇ ἀποτυχίᾳ. Ἕτερον δὲ τρόπον οἴκοι τῶν ἐπαναστάντων κρατήσας βαρβάρων, ὃν ὤδινε κατὰ Ῥωμαίων βασιλίσκον ἀποκρουσθείς, ἀπέτεκε τῆς ὀργῆς κατ' αὐτῶν τὰ ὅπλα τρεψάμενος. Καιρίαν δὲ τούτοις ἐντεῖναι βουλόμενος τὴν πληγήν, ἆθλον ἢ λάφυρον Θεσσαλονίκην προὔθετο τῷ πολέμῳ· Μακεδόνων αὕτη καὶ Ἰλλυριῶν ἡ μητρόπολις, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχοντα, τῶν μεγίστων τε εἶναι καὶ δοκεῖν, οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ βασιλεῦσιν αὐτοῖς πείθει ὡς καὶ περὶ πλείστου ταύτην ποιεῖσθαι. Κατὰ ταύτης ὁ ἀλάστωρ καὶ δυσμενὴς ἐπεστράτευσεν Ἄβαρος, βαρὺν ὅτι καὶ μάλιστα στρατὸν ἐπαγόμενος· περὶ τὰς δέκα μυριάδας εἶναι τούτους εἴκασέ τις τῶν πρὸ ἡμῶν ὄψιν τε κατιδὼν ἔκτοπον ἄλλος προεῖπεν ἀνήρ, τὸ μέγεθος τῆς πολιορκίας ὑποδηλῶν καὶ πρὸ τῆς ἀφίξεως, Θεοδόσιος Ἐπίσκοπος[1] οὗτος ἐκεῖνος ἦν ὁ τηνικαῦτα τῆς πόλεως· τραγῳδὸν δέ τινα εἶναι τὴν ὄψιν, ὃν καὶ περιστάντα παρὰ τὸ θέατρον ἐφεζομένῳ τραγῳδῆσαι, βούλεσθαι ἂν εἰπεῖν αὐτῷ τε τῷ Ἐπισκόπῳ καὶ θυγατρί[2]· τὸν δὲ πρὸς τοῦτο πολλάκις ὁρμῶντα, πολλάκις ἀποτρεπόμενον ἐργωδέστερον ὀψὲ καὶ μόλις ἀπώσασθαι.

Ἐπὶ τοιούτοις μοχθηροῖς οἰωνοῖς καὶ προσδοκίαις δυσέλπισιν ἐπιστρατεύσας ὁ Ἄβαρος, ἐν κύκλῳ πᾶσαν τῷ πλήθει περιβάλλει τὴν πόλιν. Ὄρθρου δὲ καὶ ὑπὸ ζόφον ἅπασαν τοῖς πολεμικοῖς ταινιώσας, τῆς αὐγῆς ἀνισχούσης προσῆγε τὰς ἑλεπόλεις καὶ κλίμαξιν ἐπαναβαίνειν ἐπεχείρει τοῖς τείχεσι, κον-

[1] Ἐν τῇ ἐκδόσει τῆς συλλογῆς τοῦ Ἰωάννου παρὰ Migne P. G. **116**, 1240 καὶ 1296 ὁ Ἐπίσκοπος ὀνομάζεται Εὐσέβιος.

[2] Πβλ. Migne αὐτόθι 1296 ρκ΄.

3 ἴδαμεν B 5 Χριστοῦ μάρτυς Q Χριστόμαρτυς B | πεποίηκε B 7 *ὁ πρὸ τῆς ἐπικεφαλίδος ἀριθμὸς Θ΄ εἰς τὸ χειρόγραφον Q ἀπεκόπη ὑπὸ τοῦ βιβλιοδέτου* 10 μηνίων corr.] μηνιῶν *ἔχουν ἀμφότερα τὰ χ/φα· διὰ τὸν τύπον* μηνιῶν πβλ. Χ. Χαριτωνίδου, *εἰς Ψελλὸν ἐν Ἐπετ. Παν. Θεσσαλονίκης* 1 (1927) 240 11 κρατήσας βαρβάρων ∾ B 14 προὔθετο Q: ποὔθετο B 16 καὶ[2] om. B 28 ἀνασχούσης Q 29 ἐπεχείρησε Q

τοῖς τε καὶ βέλεσι καὶ σφενδόναις πρὸ τῶν κλιμάκων ἀμύνεσθαι παρεσκεύαστο καὶ συνελόντα εἰπεῖν συνάμα πᾶσιν αὐτοῦ τοῖς στρατεύμασι καὶ πανταχοῦ τοῦ τείχους παραβόλως καὶ φοβερῶς τῆς πολιορκίας ἀπήρξατο, καὶ ταῦτα τῶν δυναμένων ἐπεξιέναι μηδενὸς ἔνδον μήτ᾽ ὄντος, μήτ᾽ ἐπαμύνοντος τῶν μὲν τὴν εὐθὺ στειλαμένων Ἑλλάδος ⟨ὁδόν⟩, τοῦ καθ᾽ ἡμᾶς ἡγεμόνος ἐφελκομένου, τῶν δὲ τὴν πρὸς βασιλέα φέρουσαν τὰς θέμιδος χρόνῳ ἤδη φυγούσας ἱμειρομένων χάριτας τῇ πόλει καταγαγεῖν, τῶν χερσὶ δὲ προσποριζομένων τὸ ζῆν λοιμώδει νόσῳ πλὴν ὀλίγων πρὸ βραχέος ἀποφθαρέντων.

13. Τότε δὴ τότε τῆς σωτηρίας πάντοθεν ἀπογνωσθείσης, ὁ ἀγρυπνότατος φύλαξ τῆς πόλεως, ὁ στερρότατος τῆς πατρίδος ὑπέρμαχος, ὁ ἀήττητος τοῦ Χριστοῦ μάρτυς καὶ μέγας Δημήτριος, μόνος τοῖς τείχεσιν ἐπιφανεὶς ἀξιόμαχος ἀνταγωνιστής, ταῖς μυριάσιν ἀντικατέστη καὶ τὸν πρώτως τῷ τείχει ἐπαναβάντα διὰ τῆς κλίμακος, ἑδραίως ἤδη τὸν πόδα τῇ ἐπάλξει ἐρείδοντα, λόγχῃ κατακοντίσας καὶ φοινίξας αἵματι, τὸ παραδοξότατον κατὰ τῶν ὄπισθεν ἀνιόντων ἔξωσε πεσεῖν. Τούτῳ δὲ κἀκείνων ἄρδην συναπωσθέντων, ἐπίσης ἅπαντες καὶ τῶν τειχῶν καὶ τῆς ζωῆς ἀπερράγησαν καὶ τοὺς μὲν κατ᾽ ἐκεῖνο τοῦ τείχους οὕτω διακρουσάμενος καὶ θραῦσιν ἐντεῦθεν αὐτοῖς καὶ κατάπληξιν ἐνσεισάμενος ὡς πορρωτάτω διώσατο· τοὺς δ᾽ ἄλλως κατ᾽ ἄλλα μέρη πολιορκητικοῖς ἀποπειρωμένους τοῖς μηχανήμασιν, ὧδέ πως πάλιν ἠμύνατο. Πλῆθος φαντασιώσας ἀνδρῶν κἀκείνοις ἐφεστάναι τοῖς μέρεσι ραγδαίως τε καὶ παραβόλως προκινδυνεύειν καὶ ἐπαμύνασθαι, ἀπεῖρξε κἀκείνους, δεδιξάμενος καὶ κατακωλύσας ὁλοσχερῶς τῆς ἐπιβουλῆς, ἀπογνῶναί τε πάντας καὶ νῶτα δοῦναι παρ᾽ ἐλπίδας, συνέπεισεν ἄμαχόν τινα δύναμιν ἐνεῖναι τῇ πόλει ὑποτοπάσαντας καὶ τὸ μέγιστον δειλίᾳ θραύσας φυγὴν ἑλέσθαι, οὐ μὴν ἀλλὰ καὶ αὐτομολῆσαί τινας κατηνάγκασε τῶν βαρβάρων, οἵ δὴ καὶ αὐτάγγελοι τῶν τηλικούτων θαυμασίων τοῖς εἴσω τειχῶν κατέστησαν ἀδιάβλητον καὶ ταῖς τῶν ἐχθρῶν μαρτυρίαις ἀξιοπιστότερον εὖ μάλα τὸ τῶν θαυμάτων μεγαλεῖον ἀνεκηρύττετο. Ὅπερ δὲ φιλεῖ τοῖς ὑπερφυέσι παρομαρτεῖν τῶν τερατουργημάτων ἀπιστία καὶ φθόνος καὶ τὸ τηνικαῦτα συμβέβηκεν, ἀποπειραθέντων ἐνίων δι᾽ ἐρεύνης ἐναποδεῖξαι ἀνθρώπινον, ἀλλ᾽ οὐ θεῖον, φύσεώς τε καὶ χειρῶν, ἀλλ᾽ οὐχ ὑπὲρ φύσιν καὶ ἁγιοτελὲς τὸ τηλικοῦτον ἔργον τῆς τῶν βαρβάρων τροπῆς καὶ διώξεως· ἀλλ᾽ ἔλαθον τῇ σφῶν ἀπιστίᾳ ἐπὶ μᾶλλον τὸ θαῦμα ἀνακηρύξαντες. Πολλὰ γὰρ διερευνησάμενοι, τίς ἄρα καὶ εἴη ὁ τὴν σφαγὴν ἐντείνας τῇ ἐπάλξει τῷ πρώτως ἐπιπηδήσαντι, αἰσθητῇ λόγχῃ τελεῖσθαι μόνον, οὐκ εὐστόχως τὴν αἱμόρροιαν ὁριζόμενοι, οὐδένα εὗρον πολλὰ καμόντες, οὔτε ἐν ζῶσιν ὄντα οὔτ᾽ ἐν τοῖς μεταλλάξασιν·

5 ὁδὸν om. QB 5-6 καθ᾽ ἡμᾶς ἡγεμόνος Q: καθηγημένος B 16 ἔξωσε corr.] ἐξῶσε QB 24 συνέπεσεν Q 36 αἱμορροίαν Q

οὐδὲ γὰρ οὐδ᾽ ἐκεῖνον ἐρευνῶντες ἀπέσχοντο φάμενοι, εἰκὸς κἀκεῖνον τὸν τρώσαντα εὐθὺς καιρίαν ἀντιλαβεῖν καὶ συγκατενεχθῆναι τοῖς πεπτωκόσιν, ἀλλ᾽ οὔτε μὴν τίνες οἱ τοὺς πολεμίους καταπληξάμενοι. Τὸ δὲ μάλιστα τρέψαν εἰς συγκατάθεσιν τοὺς ἀμφισβητοῦντας τοῦ θαύματος οἱ τὴν φυλακὴν ἐκείνης ποιούμενοι τῶν τειχῶν τῆς νυκτός, ὅρκοις τὴν ἐξομολόγησιν ἐμπεδώσαντες. Ἔφασαν γὰρ μηδένα καθάπαξ τοῖς τείχεσι προλιπεῖν κατὰ τὴν τῆς προσβολῆς ὥραν τῶν πολεμίων, οἴκοι δὲ πάντας ἰέναι ἀποκαθευδήσοντας, ὡς τοῦ ὄρθρου ἤδη ταύτην συνήθως ἐνδιδόντος τὴν ἄνεσιν τοῖς παννυχίως φυλάττουσιν. Ἔτι γε μὴν τῶν αὐτομόλων τινὲς ἐξηγούμενοι καὶ ὄψιν καὶ σχῆμα πάντῃ τῷ ἁγίῳ κατάλληλα καὶ αὐτὸν εἶναι τὸν ὀφθέντα τε πρώτως καὶ καθελόντα τοὺς προλογχίσαντας ἀνενδοίαστον ἅπασι τὴν πίστωσιν ἐνεποίησαν, ὅθεν τοὺς σωτηρίους καὶ φυλακτηρίους ὕμνους καὶ εὐχαριστηρίους τῷ μεγαλομάρτυρι κοινῇ προσεκόμισαν ἅπαντες καὶ τὴν παρ᾽ ἐλπίδα σωτηρίαν ἐπανηγύριζον, πανδημεὶ τὸν θεὸν καὶ τὸν ἅγιον μεγαλύνοντες.

[Περὶ τοῦ ρυσθέντος τῆς αἰχμαλωσίας Ἐπισκόπου]

14. Ἕτερον θαῦμα τῶν προλεχθέντων ἐφάμιλλον, οὐχ ἥκιστα δὲ καὶ τῷ ἡδίστῳ τῆς ὑποθέσεως τοὺς ἀκροατὰς ἐπαγόμενον διηγήσομαι· παρίστησι γὰρ ἐνεργέστατα καὶ τὸ περὶ τοὺς αἰχμαλωσίᾳ ληφθέντας προμηθὲς τοῦ ἁγίου καὶ κηδεμονικόν.

Γέγονέ τις Ἐπίσκοπος ἐν τῇ τῶν Ἄφρων χώρᾳ κατὰ τὴν Καρχηδόνα, ἣν Φοινίκης Ἕλληνες ἄποικον ἀναγράφουσιν, Κυπριανὸς τὴν προσηγορίαν, τὸν βίον ναὶ μὴν καὶ τὸν λόγον κατ᾽ ἐπίσκοπον ἐκπονούμενος. Οὗτος ἀναχθεὶς ἐκεῖθεν σκοπὸν τῆς ἐκπλοίας τὴν βασιλίδα τῶν πόλεων προὔθετο. Πνευμάτων δὲ μάχῃ, δυσπλοίᾳ περισχεθεὶς ταῖς περὶ τὴν Ἑλλάδα δυσχωρίαις προσίσχει. Οὕτω δ᾽ ἀποδρὰς τὸν ἐν ὕδασι, τὸν κατ᾽ ἤπειρον οὐ διέφυγε κίνδυνον· βαρ-

9 ἔτι γε B: εἴ γε Q 11 πίστωσιν B: πίστιν Q 13 ἐλπίδος B 15 *πρὸ τῆς ἐπικεφαλίδος* + Ι' *τὸ χ/φον* Q 21 Φοινίκην B

Κῶδ. Βαροκκιανὸς 148 φύλ. 276 = B [1]

Σημείωσις. *Αἱ αὐτολεξεὶ ὑπὸ τοῦ διασκευάσαντος τὸ κείμενον τοῦ Νικήτα παραληφθεῖσαι φράσεις διακρίνονται διὰ πλαγίων στοιχείων.*

Θαῦμα τοῦ μεγάλου Δημητρίου. Περὶ τῆς αἰχμαλωσίας τοῦ Ἐπισκόπου.

Ἐπίσκοπός τις ὀνόματι Κυπριανός, κατοικῶν *ἐν τῇ τῶν Ἄφρων χώρᾳ* τῆς Καρχηδόνας, *οὗτος ἀναχθεὶς* μέλλων ἐν τῇ βασιλευούσῃ πόλει, γέγονεν ἐν τῇ θαλάσσῃ *πν(ευμάτ)ων* καταιγίδι, ἐσώθη ταῖς περὶ τὴν Ἑλλάδα καὶ βάρβαροι τινὲς διήλῃζον αὐτὴν καὶ λάφυρα λαβόντες πλεῖστα, συνέπλευσεν

βάροις γὰρ ἐγκυρήσας ληϊζομένοις αὐτήν, μέρος λαφύρων ἐκείνοις τοῖς συμπλεύσασιν ἅμα γέγονε καὶ αὐτὸς καὶ τῆς ἐλευθερίας τὸ δυσφορώτατον, τὴν δουλείαν, ἠλλάξατο. Καὶ θαυμαστὸν οὐδέν· παραδίδονται πολλάκις ἁμαρτωλῶν καὶ δίκαιοι ταῖς χερσίν, οὐχ ἵνα ἐκεῖνοι, φησί, τιμηθῶσιν, ἀλλ' ἵν' οὗτοι δοκιμασθῶσιν. Δουλεύων τοίνυν ὁ Κυπριανὸς καὶ τῆς βαρβάρου δουλείας τοῖς ἀνιαροῖς ἐταζόμενος, ἐποτνιᾶτο νυκτὸς καὶ ἡμέρας, δεόμενος τοῦ θεοῦ, μὴ πέρα τῆς δυνάμεως ἐκταθῆναι τούτῳ τὸν πειρασμόν, ἀλλὰ μεγέθει φιλανθρωπίας καὶ τὴν ἔκβασιν τάχιον ἐπιδεῖν. Ὁ δὲ 'τὸ θέλημα θεὸς τῶν φοβουμένων ποιῶν καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων καὶ σώζων αὐτούς'[1] φθάνει καὶ τούτου συμπαθείᾳ τὴν αἴτησιν. Καὶ ἔτι λαλοῦντος, ῥύστην αὐτῷ τῆς αἰχμαλωσίας τὸν μέγαν ἐπιπέμπει Δημήτριον. Ὁ δὲ ἀωρὶ παραστὰς τῶν νυκτῶν, ἔλυσέ τε πεπεδημένον καὶ εἴπερ, ἔφη, βούλοιο σώζεσθαι, ὦ Ἐπίσκοπε, ἕποιο σιωπῇ. Ἐρομένῳ δὲ τούτῳ, 'τίς εἶ, κύριε,' ἀπεκρίνατο· 'στρατιωτῶν εἷς ὁ Δημήτριος, τὴν τῶν Θεσσαλονικέων μέσην οἰκῶν, ἐν ᾗ, φησί, καὶ ἀπάξω σε τὴν σιωπὴν ἀσπαζόμενον.' Καὶ ταῦτα εἰπών, ὁ μὲν ἡγεῖτο, ὁ δ' εἵπετο ἡσυχῇ. Οὕτω δὲ προϊόντες ἀψοφητὶ τὴν τῶν βαρβάρων στρατοπεδείαν ὡς τάχιστα ὑπερέβησαν, τῆς τε περαιτέρω τοσοῦτον προῆλθον πορείας ὅσον παρέσχεν ἰσχύος ὁ ἀφηγούμενος. Οὐκ εἰς μακρὰν δὲ λοφιᾷ τινι συνηρεφεῖ τῆς ὀρθρίου ἤδη ὑποφαινούσης αὐγῆς ἀπηντήκασιν. Καὶ ὁ μὲν ἥδιστος ὁδηγὸς ἀπῄει ἐξ ὀφθαλμῶν, ὁ δέ, ὅπερ ἦν συμβαλὼν ὁ Ἐπί-

[1] ψαλμ. 144, 19

6 ἐποτνιάτω B 10 συμπαθείας Q 13 *πρὸ τοῦ* Κύριε + ὦ Q 15 ταῦτ' B

καὶ αὐτὸς ὡς δοῦλος ἀπὸ τῆς ἐλευθερίας. *Δουλεύων τοίνυν ὁ Κυπριανὸς τῆς* βαρβαρικῆς *δουλείας*, ἐδέετο τοῦ θεοῦ νυκτὸς καὶ ἡμέρας τοῦ λυτρωθῆναι τῆς πικρᾶς δουλείας. *Ὁ δὲ τὸ θέλημα Θεὸς* ἐπιτάχιον δοὺς τοῖς φοβουμένοις αὐτὸν *καὶ τῆς δεήσεως* αὐτῶν *εἰσακούων, φθάνει καὶ τοῦτον συμπαθείας τὴν αἴτησιν* καὶ *ῥύστην τῆς αὐτοῦ αἰχμαλωσίας ἐπιπέμπει τὸν μέγαν Δημήτριον. Ὁ δὲ ἀωρὶ παραστὰς τῶν νυκτῶν, ἔλυσε πεπεδημένον*, φάσκων πρὸς αὐτόν, ὅπου βούλει *σώζεσθαι, ὦ Ἐπίσκοπε. Ἐρομένω δὲ τούτω, 'τίς εἶ Κύριε,' ἀπεκρίνατο ⟨ὁ⟩ ἅγιος· 'στρατιωτῶν εἷς ὁ Δημήτριος*, ἔφη, *τὴν τῶν Θεσσαλονικαίων μέση οἰκῶν*, ἐν ᾗ, *φησί, καὶ ἀπάξω σε τὴν σιωπὴν ἀσπαζόμενον'. Καὶ ταῦτα εἰπών*, ἐπορεύοντο *τὴν τῶν βαρβάρων στρατοπαιδείαν ὡς τάχιστα* ἐπορεύθησαν. Πορευόμενοι δὲ ἀμφότεροι κατήντησαν ἐν τόπῳ τινί, αὐγῆς ἐπιφαινούσης, καὶ ὁ ἅγιος *ἀπήει ἐξ ὀφθαλμῶν* τοῦ Ἐπισκόπου, παραγγείλας αὐτῷ, τὴν ἡμέραν *ἠρεμεῖν*, τὴν δὲ νύκτα *ὁδοιπορεῖν* διὰ τὸ *ἐπίβουλον τῶν βαρβάρων*. Ὁ δὲ Ἐπίσκοπος Κυπριανὸς ἐποίει πάντα τὰ διδασκόμενα ὑπὸ

5 ἐπιμπέπει *τὸ χ/φον, ἐκ παραδρομῆς*

σκοπος, δι' ἡμέρας μὲν βούλεσθαι τὸν ἅγιον ἠρεμεῖν, νύκτωρ δ' ὁδοιπορεῖν καὶ ταύτῃ τὸ ἐπίβουλον τῶν βαρβάρων διαδιδράσκειν, ἔμενε κρησφύγετον ἐρυμνὸν τὴν νάπην ποιούμενος καὶ ταῖς αὐτοφυέσι τῶν βοτανῶν τῇ γαστρὶ σχεδιάζων τὴν τράπεζαν. Τῆς δέ γε νυκτοπορίας οὕτως ἑαυτὸν ἀνακτώμενος, ὡρολόγει φιλοπονώτερον πρὸς ἑσπέραν τὸν ὁδηγὸν ἐκδεχόμενος, καθ' ἣν δὴ καὶ προσῄει ὁ ἅγιος, ἀναδεικνὺς ἑαυτὸν τῷ ἐπικαλουμένῳ καὶ τῆς πορείας ἀπήρχετο· ὁ δ' εἵπετο πρόθυμος ἀνεκλαλήτοις φωναῖς τὸν κηδεμόνα Θεὸν καὶ τὸν ἅγιον ἀνυμνῶν, πεπεδημένης τῆς γλώττης τῷ ἐπιτάγματι. Καὶ οὕτω γε ποιοῦντες ἐπὶ ὅλας ἡμέρας ὀκτὼ νύκτωρ μόνον τῆς ὁδοιπορίας ἁπτόμενοι, τῇ ἐσχάτῃ ἀγχοῦ πού τε τῆς τῶν Θεσσαλονικέων κατῆραν νυκτί, ἔνθα δὴ καὶ Κυπριανοῦ τὸ πλῆρες τὸν καλὸν συνοδοιπόρον καὶ ὁδηγὸν διίστησιν ἡ αὐγή, οὕτω παραδόξως τῆς δεινῆς αἰχμαλωσίας ἐκλυτρωσάμενον. Ὁ δὲ μονωθεὶς ἤσχαλλε μὲν τὴν ζημίαν οὐ φέρων τοῦ σωτῆρος καὶ ὁδηγοῦ, εἰσῄει δ' ὅμως προκειμένην τὴν πόλιν ὁρῶν καὶ τὸν στρατιώτην περιιὼν ἐζήτει Δημήτριον καὶ τὸν οἶκον ἐκείνου περὶ τὸ μέσον τῆς πόλεως. Πολλῶν δὲ πλείστους ὑποδεικνύντων, εἰς γνῶσιν οὐδεὶς ἦν ὁ ἀναφερόμενος. Τότε δὴ εἰς τὸν τοῦ ἁγίου παρῄει νεὼν καὶ τῇ εἰκόνι τοῦ ἁγίου τὸ εἶδος τοῦ σώματος συμβαλών, χαρᾷ καὶ θάμβει σύμμεικτος ἦν καὶ τὰ δάκρυα προέτρεχε τῆς φωνῆς καὶ ἀφασίᾳ πεπέδητο. Μόλις δ' ἀνενεγκὼν ἐξ ἡδονῆς παθαινόμενος θεοκλυτῶν οὐκ ἐπαύετο τῷ σώσαντι ἀνθομολογούμενος. Ἐφ' ᾧ δὴ τόν τε Ἀρχιεπίσκοπον καὶ πάντα συνδεδραμηκέναι τὸν ὄχλον καὶ κοινῇ πάντας δοξάσαι τὸν Κύριον καὶ τὸν ἅγιον, ἐφ' οἷς ἀκηκόεσάν τε καὶ εἶδον αὐτόν τε

1 ἠρεμᾶν Q 3 βοτάνων Q 7 προθύμως *κατ' ἀρχὰς ἐν Q, κατόπιν προσθέτει ὁ ἴδιος γραφεὺς τὸ ο ὑπεράνω τοῦ ω*

τοῦ ἁγίου, ἐπιτρεφόμενος τοῖς ἐφυέσιν τῇ γῇ *βοτανῶν*, τῇ ἡμέρᾳ καὶ τῇ νυκτὶ τὴν πορείαν ποιούμενος, ἐπιφαινόμενος ὁ ἅγιος τὴν ὁδὸν ἐνδεικνύμενος τῷ Ἐπισκόπῳ καὶ τῷ θεῷ *ἀνεκλαλήτοις φωναῖς* εὐχαριστῶν καὶ τὸν ἅγιον ἀνυμνῶν, ἐπὶ ὅλας ἡμέρας ὀκτώ. Φθάσας δὲ *τὴν τῶν Θεσσαλονικέων* γῆν *ἐζήτει Δημήτριον* τὸν στρατιώτην τὸν συνοδοιπόρον αὐτοῦ *καὶ τὸν οἶκον* αὐτοῦ τὸν ὄντα περὶ *τὸ[ν] μέσον τῆς πόλεως. Πολλῶν δὲ πλείστων ὑποδεικνύντων, εἰς γνῶσιν οὐδεὶς ἦν ὁ ἀναφερόμενος* τὸ ζητούμενον. *Τότε δὴ εἰς τὸν τοῦ ἁγίου παρῄει ναὸν καὶ τῇ εἰκόνι τοῦ ἁγίου τὸ εἶδος τοῦ σώσαντος συμβαλών, χαρᾷ καὶ θάμβει σύμμικτος ἦν καὶ τὰ δάκρυα* προέπεμπεν *τῆς φωνῆς, οὐκ ἐπαύετο τῷ σώσαντι ἀνθομολογούμενος*, ὥστε συναχθῆναι *τόν τε Ἐπίσκοπον* τῆς αὐτῆς πόλεως καὶ ὄχλου πολλοῦ *καὶ κοινῇ πάντα δοξάσαι τὸν Κύριον καὶ τὸν ἅγιον* αὐτοῦ Δημήτριον ἀκούσαντες *καὶ εἶδον* ὅτι ὁ Ἐπί-

4 Θεσσαλονικαίων *χ/φον* 9 προέμπεπεν χ/φον *ὡς καὶ ἀνωτέρω 342,5 προμπέπει.*

τὸν παραδόξως οὕτω τῶν βαρβάρων διὰ τοῦ ἁγίου ἀνασωθέντα Ἐπίσκοπον ἐπιεικῶς φιλοξενῆσαι καὶ ἀνακτήσασθαι, ὡς τηλικούτου γεγενημένον τοῖς πᾶσι διάκονον καὶ αὐτάγγελον θαύματος.

[Περὶ τοῦ πορισμοῦ τῶν μαρμάρων]

15. Οὕτω μὲν οὖν τῆς αἰχμαλωσίας τὸν Κυπριανὸν ὁ μέγας Δημήτριος διεσώσατο. Ὅπως δὲ πάλιν καὶ συνεφήψατο τούτῳ περὶ εὐκτηρίου ὕλην ἐκπονουμένῳ διαληπτέον. Διδάσκει γὰρ καὶ τουτὶ τὸ θαῦμα, ὡς οὐ μόνον ἐξ ἀναγκῶν ῥυόμενος ἐπιφαίνεται τοῖς πίστει καλοῦσιν ὁ ἅγιος, ἀλλὰ καὶ τοῖς θεοφιλέσι τῶν ἔργων οὐκ ἀναδύεται συνεφάπτεσθαι, ἔν τε τοῖς ἀπόροις πόρους διδοὺς καὶ τὰ τῆς χρείας δαψιλευόμενος.

Ἀναχθεὶς τοιγαροῦν ἐκ Θεσσαλονίκης αὐτὸς οὗτος Κυπριανὸς ὁ Ἐπίσκοπος, τῇ τε βασιλίδι κατάρας τῶν πόλεων, πρὸς ἣν καὶ τὴν ὁρμὴν ἄνωθεν εἶχε, διοικησάμενός τε καὶ πέρας τοῖς κατὰ νοῦν ἐπιθεὶς ἐν αὐτῇ, ἐπεὶ τῷ ποιμνίῳ αὖθις καὶ τῇ πατρίδι ἀποκατέστη, τῇ θαυματουργῷ χειρὶ τοῦ ἁγίου διασωθείς, ἔγνω λύτρα δοῦναι τῷ σώσαντι, εὐκτήριον ἐπὶ τῷ ὀνόματι αὐτοῦ δομησάμενος.

16. Καὶ τὰ μὲν ἄλλα τῶν ἔργων πέρας ἔσχε τῷ εὐκτηρίῳ σπουδῆς καὶ πίστεως ὑφηγησαμένης ἁγιοπρεποῦς. Περὶ κιβωρίου δὲ καὶ ἄμβωνος ποτνιωμένῳ ἐπιφαίνεται κατ' ὄναρ ὁ ἅγιος καὶ φησὶ πρὸς αὐτόν. ‛Τὸ νυνὶ πλοῖον τῷ λιμένι προσσχόν, ὅσα διὰ φροντίδος σοι τῶν μαρμάρων ἐστὶν ἐπιφέρεται,

2 τηλικοῦτον B 4 *πρὸ τῆς ἐπικεφαλίδος* + ΙΑ' *τὸ χ/φον* Q 6 συνεψήψατο B 9 συνεψάπτεσθαι B 11 ἀναθεὶς Q 14 τῇ [1] om. B 18 ὑφηγησαμένης corr.] ἀφηγησαμένης QB | κιβουρίου B / δὲ om. B 19 ἐπιφαίνηται B 20 σοι om. Q

σκοπος Κυπριανὸς ἐσώθη ἐκ τῆς δεινῆς αἰχμαλωσίας τῶν βαρβάρων, βοηθείᾳ καὶ ὁδηγίᾳ τοῦ μεγάλου Δημητρίου.

Ἀναχθεὶς τοιγαροῦν ἐκ Θεσσαλονίκης ὁ αὐτὸς Ἐπίσκοπος Κυπριανός, τῇ τε βασιλίδι κατάρας τῶν πόλεων, πρὸς ἣν καὶ τὴν ὁρμὴν ἄνωθεν εἶχε, καὶ *κατὰ νοῦν ἐπιθεὶς ἐν* αὐτῷ, πῶς διεσώθη ἐκ τῶν ⟨βαρ⟩βάρων *τῇ θαυματουργῷ χειρὶ τοῦ ἁγίου* Δημητρίου, εὐκτήριον ἐπὶ τῷ ὀνόματι τοῦ ἁγίου *δομησώμενος.*

Καὶ τὰ μὲν ἄλλα τῶν ἔργων πέρας ἔσχεν τῷ εὐκτηρίῳ, σπουδῇ καὶ πίστει μεγάλη εἶχεν, *περὶ κιβωρίου καὶ ἄμβωνος* μαρμάρων *ποτνιωμένῳ ἐπιφαίνεται κατ' ὄναρ ὁ ἅγιος καὶ φησὶ πρὸς αὐτόν·* ‛Ἐπίσκοπε, *τὸ νῦν πλοῖον τῷ λιμένι προσσχόν, ὅσα διὰ φροντίδος τῶν μαρμάρων ἐστὶν ἐπιφέρεται* καὶ ὅσα *βουλομένῳ σοι τὰ τῆς χρείας* ἀγόρασον’. *Ὁ δὲ* Ἐπίσκοπος *τὸ προμηθὲς τοῦ ἁγίου*

1-2 βοηθείαι καὶ ὁδηγείαι *τὸ χ/φον*

κἀκ τούτων βουλομένῳ σοι τὰ τῆς χρείας προσποριισθήσεται’. Ὁ δὲ τὸ προμηθὲς τοῦ ἁγίου ὑπερθαυμάσας καὶ ὡς ταύτῃ συνευδοκεῖ τῇ οἰκοδομῇ ἐφησθεὶς καὶ μάλιστα τῷ εὑρήματι, εὐχαριστίαις ὡς τὸ εἰκὸς τὸν χρηματίσαντα ἐθειάσατο, θᾶττόν τε πρόσεισι τῷ ναυκλήρῳ καὶ παντοδαπῶς λιπαρῶν προσεφέρετο, ὠνητῶν ὧν ἐπιφέρεται μαρμάρων ἐπιτυχεῖν. Ἀλλ' εἰς μάτην ἑωρᾶτο τὰ πρῶτα πονῶν, πάντῃ τοῦ ναυκλήρου διακρουομένου τὴν αἴτησιν καὶ μηδ' ἔχειν τι τῶν ἐπιζητουμένων ἰσχυριζομένου ἢ ἐπιφέρεσθαι ἄντικρυς.

Ὁ δὲ ἅγιος ἀνιωμένῳ τῇ ἀποτυχίᾳ τῷ Ἐπισκόπῳ, ὢ τοῦ θαύματος, ἐφίσταται πάλιν δεύτερον καὶ φησὶ τηλαυγέστερον τῇ πρῴρᾳ μὲν τοῦ πλοίου ἐναποκεῖσθαι τὰ μάρμαρα, ἕκαστον ἐξονομάσας ὡς εἶχεν εἴδους καὶ σχήματος, ἐπ' ὀνόματι δὲ τοῦ ἀδελφοῦ καὶ συμμάρτυρος Βίκτωρος ὠνηθῆναι, αὐτῷ δ' ἐκεῖνον ταῦτα δωρήσασθαι νῦν ὡς κατὰ τὴν βασιλίδα τῆς τούτων χρείας εὑρεθείσης, ἐκείνῳ καὶ πληρωθείσης, ἀνειπεῖν τε ταῦτα τῷ τῆς νεὼς ἀφηγουμένῳ σαφῶς· οὕτω τε πεῖσαι καὶ λήψεσθαι. Ὃ δὴ καὶ γεγένηται. Ἅμα γὰρ τῷ δι' ὀπτασίας θείας ἀποκαλυφθῆναι ταῦτα διακοῦσαι τὸν τῆς νεὼς ἀρχηγὸν τά τ' ἄλλα, τήν τε θέσιν καὶ τὴν ποιότητα, ἐπιδοῦναί τε σὺν προθυμίᾳ πολλῇ καὶ ἀντιλαβεῖν μετὰ τοῦ ποσοῦ καὶ τὴν τοῦ ἁγίου εὐμένειαν.

Οὕτως οἶδεν ὁ τὸ πᾶν ἅμα Θεὸς οἰκονομῶν τά τε κατὰ μέρος καὶ τὰ καθ' ἕκαστον τοὺς ἐπικαλουμένους αὐτόν, οὐ μόνον σῴζειν ἐν ἀληθείᾳ, ἀλλὰ κἂν τοῖς εὐαρέστως αὐτῷ τελουμένοις ἔργοις συνεκπονεῖσθαι διὰ τῶν ἁγίων αὐτοῦ καὶ ἀντιλαμβάνεσθαι.

5 ἑωρᾶτο corr.] ὡρᾶτο QB 11 δὲ om. B / ὠνηθῆναι corr.] ἐωνηθῆναι QB 13 ἀνειπεῖν + δὲ B

ὑπερθαυμάσας καὶ ὡς ταύτῃ συνευδοκεῖ τῇ οἰκοδομεῖ εὐχαριστίαις τὸν ἅγιον ἐδοξολόγει, τῇ ἐπαύριον *πρόσεισι τῷ ναυκλήρῳ παντοδαπῶς λιπαρῶν προσεφέρετο, ὠνητῶν ὧν ἐπιφέρεται μαρμάρων ἐπιτυχεῖν. Ἀλλ' εἰς μάτην ὡρᾶτο τὰ πρῶτα πονῶν,* ὅτι μηδένα *τῶν ἐπιζητουμένων ἐπιφέρεσθαι,* εἶδεν Θεός.

Ὁ δὲ Ἐπίσκοπος ἀνιώμενος *τῇ ἀποτυχίᾳ* τῶν μαρμάρων, ὢ τοῦ θαύματος, ἐπιφανεὶς *πάλιν δεύτερον* ὁ μέγας Δημήτριος, *φησὶν τηλαγεύστερον, τῇ πρῴρᾳ μὲν τοῦ πλοίου ἐναποκεῖσθαι τὰ μάρμαρα, ἕκαστον ἐξονομάσας ὡς εἶχεν εἴδους καὶ σχήματος. Ἅμα γὰρ τῷ δι' ὀπτασίας* πάλιν ἀκηκοὼς *θείας,* εὐθέως πάλιν ἐπὶ τὴν νεὼ εὐθυδρομήσας, τῷ ναυκλήρῳ καὶ τῷ ἄρχοντι πάντα ἐξηγησάμενος, τήν τε θέσιν καὶ τὴν ποιότητα, ὃ μὴ γέγονεν καὶ μετὰ *προθυμίας πολλῆς καὶ* φόβου λαβὼν αὐτά, ηὐχαρίστει τῷ θεῷ *καὶ τὴν τοῦ ἁγίου εὐμένειαν,* πῶς ὁ θεὸς οἰκοδομῶν καθ' ἑκάστην σημεῖα τοῖς καθαρῶς πιστεύουσιν ἐν τοῖς ἁγίοις αὐτοῦ.

7 ἐναποκείσται *ἔχει τὸ χ/φον*

[Περὶ τῆς λοιμώδους νόσου τῆς πόλεως]

17. Ἀλλ᾽ αἱ μὲν εἰς τοὺς καθ᾽ ἕκαστον ἀφέσεις τῶν ἰαμάτων τοῦ θεομάρτυρος καὶ αἱ τῶν παραδοξοποιῶν θαυμάτων ἐνέργειαι, ὡς ἀπὸ πολλῶν εἰπεῖν ὀλίγας, τοιαῦται. Ἴδωμεν δὲ ὅπως καὶ τῷ κοινῷ τῆς πόλεως κινδυνεύοντι οἵάν τινα χεῖρα ὀρέγων τὸ προμηθὲς θαυματουργὸν ἀνεκτήσατο.

Λοιμὸς ἦν καὶ τῶν πώποτε μνημονευομένων ὁ φθαρτικώτατος, οὐδὲ γὰρ οὐδὲ μέθοδόν τινα εἰς ἐπικουρίαν τῷ πάθει οἷόν τε ἦν ἐξευρεῖν. Ἔκαμνε δὲ ἡ πόλις τῷ ἀπηνεῖ καὶ ἀδυσωπήτῳ τῆς νόσου καταχωνευομένη τὸν ὑγρὸν ὡς ἔοικε τηνικαῦτα τὸν τῶν ἐνοικούντων καὶ διαλελυμένον βίον καυτῆρος δίκην τοῦτον ἀναξηραίνοντος τοῦ ἀγαθοῦ δεσπότου καὶ ἰατροῦ τῶν ψυχῶν, ὃς ἀπό τε τῶν δεξιῶν ὅπλων καὶ ἀριστερῶν ἀποστολικῶς φάναι πάντας προσάγεσθαι βούλεται. Οὗτος τὴν πόλιν ἐπινεμόμενος, πρῶτα μὲν τὴν νεολαίαν ἀπῆγεν, τοὺς φύσαντας καὶ μᾶλλον πταίσαντας διὰ τῶν ἀκάκων τῆς κακίας ἀνακαλούμενος, κἀκείνους διὰ τῆς ἀπαγωγῆς φθάνων ἀθιγεῖς εἰς σωτηρίαν προσλαμβανόμενος, ἵνα καὶ φιλανθρωπίαν τὴν τιμωρίαν ποιήσηται, ὥσπερ ἐκείνου τρόπος. Ἔπειτα δὲ τὸ πάθος καὶ τῶν ἐν ἡλικίᾳ καθήπτετο αἴσθησιν ἐναργῆ παρεχόμενον τῶν σφετέρων πρακτέων αὐτοῖς, ἐπεὶ μὴ τῇ πληγῇ τῶν παίδων βελτίους γενέσθαι προείλοντο. Τότε τοιγαροῦν κατὰ τὸν πάλαι ἀγνώμονα Ἰσραήλ, ᾗ φησι τὰ θεῖα λόγια, ῾ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν᾽ [1] καὶ οὗτοι πανδημεὶ πάντες θραυσθέντες, οἱ μὲν τῷ φόβῳ, οἱ δὲ τῇ πληγῇ τὸ τοῦ ἁγίου κατειλήφασι τέμενος, οἰμωγῆς τε ἅπαν κωκυτοῦ καὶ θρήνων πληρώσαντες, θερμοῖς ἐπεκαλοῦντο τοῖς δάκρυσιν ἀλεξίκακον αὐτοῖς ἐφικέσθαι τὸν μάρτυρα, «οἶδας, ἅγιε, λέγοντες τῆς φύσεως τὴν ἀσθένειαν· οἶδας τοῦ δεσπότου καὶ δημιουργοῦ τὴν εὐμένειαν καὶ ὡς ἀεὶ τὴν κρίσιν ἐλέῳ κιρνᾷ, ὡς υἱοῖς τοῖς ἁμαρτάνουσι προσφερόμενος, παιδεύων καὶ πάλιν ἰώμενος· κατ᾽ ἐκεῖνον δὴ καὶ αὐτὸς ἐλεήμων καὶ συμπαθής, φιλόπολις καὶ φιλόπατρις· οἷς δὴ καὶ ἡμεῖς πεποίθαμεν καὶ αὐτὸς τῶν ἄλλων διενηνοχέναι μαρτύρων ἠγάπησας ὑπὲρ ταύτης τὴν λόγχην, τὸ αἷμα, τὸν θάνατον προβαλοῦ. Ἴσμεν ὡς θᾶττόν σε μετὰ τούτων δυσωπηθήσεται καὶ θᾶττον ἐποχετεύσει τὸν ἔλεον. Ἀλλ᾽ ἀπαιτεῖς τῶν ἐσφαλμένων ἡμῖν τὴν διόρθωσιν; μαρτύριον ἔχεις τὰ δάκρυα τῆς ἐπιστροφῆς ἀπαράγραφον, τὴν νηστείαν, τὸν εἰς τοὺς χρήζοντας ἔλεον τῶν ὁμογενῶν».

[1] Ψαλμ. 77, 34.

1 *ὁ πρὸ τῆς ἐπικεφαλίδος ἀριθ.* ΙΒ′ *εἰς τὸ χ/φον* Q *ἀπεκόπη ὑπὸ τοῦ βιβλιοδέτου* 3 αἱ om. B 5 οἵαν corr.] οἷα QB θαυματουργῶν Q 9 τὸν ² om. B 10 τοῦτον corr.] τούτῳ QB 15 εἰς σωτηρίαν + πρὸς σωτηρίαν B 16 ὥσπερ corr.] ὅσπερ QB 20 ἐξεζήτουν Q ἐζήτουν B 30 ἀποχετεύσει B

18. Καὶ ἡ μὲν ἱκετεία τοιαύτη. Τί οὖν ὁ ἱκετευόμενος; ἆρ᾽ ἀπώσατο τοὺς ἱκέτας μαστιγουμένους ὁρῶν; ἆρα ἐβδελύξατο τῶν ἡμαρτημένων αὐτοῖς τὸ μέγεθος, ὁ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντιπαραταξάμενος; ὁ καὶ λαμπρὰ κατ᾽ αὐτῆς ἐγείρας τὰ τρόπαια τοὺς ἡττημένους αὐτῇ; Οὔμενουν ἀλλ᾽ εὐθὺς τὴν πρεσβείαν ἐκίνησεν, ἔστη καὶ ἐξιλάσατο καὶ τοὺς θείους ἐκβιασάμενος οἰκτιρμοὺς τῷ μεγέθει τῆς παρρησίας τῆς θείας ψήφου κεκίνηκε τὸ ἀκίνητον· παραυτίκα γὰρ ἡ θραῦσις κεκόπακε καὶ τὸ λοιμῶδες καὶ φθοροποιὸν πάθος ἐντὸς ἡμερῶν ὀλίγων τῆς πόλεως ἀπελήλαται. Πῶς καὶ τίνι τρόπῳ; Αὐτὸς ἐκεῖνος ὁ θεῖος μάρτυς πρέσβυς, ὁ ἀκαταίσχυντος αὐτουργὸς τῆς θείας ἀφέσεως τοῖς νοσοῦσιν ἐφίσταται καὶ οἷς μὲν ἐδόκει ἡμέρῳ καὶ κεχαρισμένῳ περιοδεύειν τῷ ὄμματι παραυτίκα τε ῥαῖσαι τὴν νόσον ἐποίει καὶ πρὸς ὑγείαν ἀνάγεσθαι. Οἷς δὲ σκυθρωπῷ καὶ οἰκτίστῳ παροδεύειν ἐῴκει τῷ σχήματι ἐξοδεύειν ἐγνώριζεν καὶ μετ᾽ οὐ πολὺ τὸ ἔργον ἐφείπετο. Κἀντεῦθεν ἑνὶ τῷ τῆς ἐμφανείας φαρμάκῳ, κἂν ἐν διαφόρῳ ἑκατέροις τῷ σχήματι τὸ λυσιτελὲς ἐπρυτάνευε, τοῖς τ᾽ ἀπολυομένοις τοῦ βίου καὶ τοῖς περιεῖναι ἔτι συγχωρηθεῖσι, τὴν δι᾽ ἐξαγορεύσεως καὶ ἐλεημοσύνης σωτηρίαν ὁδοποιούμενος. Οὕτω δὴ τὴν τῶν ἡμαρτημένων εἴσπραξιν τοῖς πολίταις ὁ θεῖος μάρτυς τῷ ἀπλέτῳ τῆς παρρησίας εἰς σωτηρίαν μετεσκευάσατο.

[Περὶ τῆς λύσεως τοῦ λιμοῦ τῆς πόλεως]

19. Ἄθρει δὴ καὶ ἕτερον θαῦμα ὁ ταύταις ταῖς θεουργίαις ἐπεντρυφῶν, δι᾽ οὗ τῷ κοινῷ τῆς πόλεως καὶ εἰσαῦθις ὁ θεῖος μάρτυς τὴν σωτηρίαν ἐβράβευσεν.

Καιρὸς ἦν ἕτερος, ὅτε λιμὸς παρὰ πᾶσαν προσδοκίαν ἐπικατειλήφει τὴν πόλιν ἀθρόων τῶν καρπῶν ἁπάντων ἔκ τινος ἀποφθαρέντων θεομηνίας. Τότε καὶ τὸ δαυιτικὸν ἐκεῖνο προσφόρως ἐλέγετο· ῾πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις [1] καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει· καὶ πᾶς τις ταῖς ἰδίαις ἁμαρτίαις τὴν αἰτίαν περιτιθέναι᾽ τῷ λογίῳ ὑπεμιμνήσκετο, καὶ οἵας ἀπονέμει τὰς χάριτας κατεμάνθανε τὸ δύσοσμον τῆς ἁμαρτίας ὀσφράδιον καὶ ὅσης ἀγανακτήσεως παραίτιον γίνεται ῾τῷ ἀνάγοντι τὴν χεῖρα καὶ ἐμπιπλῶντι πᾶν ζῷον εὐδοκίας [2]᾽. Τὸ γοῦν ὀλέθριον ἐκεῖνο τοῦ λιμοῦ πάθος καὶ χειμέριος προφθάσασα ὥρα ὀλεθριώτερον κατεσκεύασε. Ταῖς γὰρ ἀντιπνοίαις τῶν σφοδροτάτων ἀνέμων ἄπλωτον θεμένη τὸ πέλαγος, τά τε σιτηγὰ τῶν πλοίων ἀπεῖρξε καὶ τοὺς τῆς ζωῆς πόρους ἀνεπινοήτους παρυπεστήσατο. Τῷ βάρει

[1] Ψαλμ. 90, 8
[2] Ψαλμ. 144, 16.

7 κεκόπακε om. Q 19 *ὁ πρὸ τῆς ἐπικεφαλίδος ἀριθμὸς* ΙΓ′ *ἀπεκόπη ὑπὸ τοῦ βιβλιοδέτου* 24 ἀθρῶον B 32 ἀνέμων om. Q | ἄπλετον B

τοιγαροῦν τοῦ λιμοῦ τῶν ἐνόντων ἁπάντων ἐπιλιπόντων καὶ τῷ ἀμηχάνῳ τοῦ πορισμοῦ, τραυματίας ἤδη λιμοῦ τοὺς πλείστους εἶχεν ἡ πόλις, τοὺς δὲ καὶ ἐκλείποντας. Τότε δὴ πάντες ἐπὶ τὸν θερμότατον προστάτην καὶ οἰκειότατον τῆς πόλεως, τὸν ἀθλοφόρον καταπεφεύγασι λιταῖς καὶ ἱκετηρίαις ἐντεύξεσι τοῦτον ἐξιλασκόμενοι ἐν ἀπόροις δοῦναι πόρον ζωηφόρον τοῖς κινδυνεύουσι καὶ τὸν ἐπηρτημένον πρεσβείᾳ θερμῇ παρενεγκεῖν κίνδυνον. Τί δὲ ἄρα τῷ ἁγίῳ παρέστη ποιεῖν τῆς ἱκετηρίας τοιᾶσδε ἀποδοθείσης αὐτῷ καὶ τῆς πόλεως οὕτω μετά γε θεὸν ἁπάσης ἐκκρεμαμένης αὐτοῦ; τί δ᾿ ἄλλο γε ἢ τὸν οἰκεῖον δεσπότην μιμήσασθαι θαυματουργῶν ἅμα καὶ τρέφων ἐν ἐρημίᾳ σίτου λαὸν συνεργίᾳ τοῦ πλάσαντος; Καὶ ὅρα τὸ θαυμαστόν. Πεζοπορεῖ τὴν ὑγράν, διαθέει πελάγη μακρὰ ἐν βραχεῖ, παρὰ λιμένας τοὺς πόρρω φοιτᾷ, ἔνθα πλεῖστα τῶν σιτηγούντων πλοίων ηὐλίζετο, τὰς ἀπαισίους ἐκτροπὰς τῶν πνευμάτων ἐκκλίναντα· τοῖς ναυπηγοῖς ἐμφανίζεται, γνωρίζει τὴν χρείαν, τὸ ὄνομα τὸ τῆς πόλεως, κατεπισκήπτει παρὰ ταύτην καταίρειν ὡς τάχιστα, ἐπαγγέλλεται προπορεύεσθαι κατευθύνειν τὰς τρίβους καὶ τὸ πνεῦμα αἰσίως ὀχετηγεῖν καὶ ὡς κατὰ σκοπὸν αὐτοῖς ἀπαντήσοι τῆς ἐμπορίας τὸ ὄφελος, λιμοῦ τὴν πόλιν πιέζοντος. Καὶ εἰπὼν ἔπεισε καὶ τὰς ὑποσχέσεις ἐπέρανεν. Ὀφθαλμοφανῶς δηλαδὴ καθορώμενος αὐτὸς ἐκεῖνος ἐπὶ πολὺ προπορευόμενος τῶν νεῶν καὶ πεζεύων τὸ πέλαγος κατὰ τὸν Κύριον Ἰησοῦν καὶ θεάνθρωπον, ἵνα δὴ καὶ τὴν θείαν αὐτοῦ πρόρρησιν ἐπὶ τῶν ἔργων πιστώσηται, ᾗ, φησίν, 'ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει'.

Τούτοις μὲν οὖν τοῖς ἐξαισίοις ἡγήμασι καὶ ὁράμασιν οἱ πλωτῆρες θαρρήσαντες σὺν εὐθυμίᾳ τὸν ὅρμον κατέλαβον καὶ τῇ ἠϊόνι προσσχόντες τῆς πόλεως τὰ τοῦ ἁγίου θαύματα ἀνεκήρυξαν, τῇ τε διαπωλήσει τοῦ σίτου τὴν τοῦ λιμοῦ λύμην κατέπαυσαν καὶ τοὺς εὐχαριστηρίους συνάμα πόλει πάσῃ τῷ εὐεργέτῃ προσένειμαν καθεξῆς τε τοῖς ἐντυγχάνουσι, τά θ᾿ ὁραθέντα καὶ ἀκουσθέντα διαπρυσίως ἐκέκραγον, τὸν ἅγιον ἐκθειάζοντες καὶ κοινῇ πάντες τὰ τῆς σωτηρίας ἐπανηγύριζον.

[Περὶ τῆς κυρίας Εὐταξίας]

20. Τοίνυν καὶ ἕτερον, τῷ μὲν εἰρημένῳ ἀκόλουθον θαύματι ὅσον ἐπὶ τῇ τοῦ κοινοῦ σωτηρίᾳ τῆς πόλεως, οὐ ταὐτὸν δὲ τῇ ὑποθέσει, ἀλλ᾿ ἕτερον, ὁ λόγος ἐκδιηγείσθω καὶ τοῖς ὠσὶν ὑμῶν ἐνηχείτω κατὰ καιρόν, [τούτων γὰρ ὁ καιρός, ἐπεὶ καὶ ἡ μνήμη τοῦ μάρτυρος, ὥσπερ ὄψα διάφορα ἐν πολυτελεῖ

[1] Ἰω. 14 12.

1 τοιγαροῦν Q τοίνυν B | ἐπιλειπόντων om. Q 4 ἱκετηρίαις corr.] ἱκετηρίοις QB 8 μετὰ om. Q 9 θαυματουργεῖν B 21 πιστεύσηται B 24 θαύματα ἀνεκήρυξαν ∾ B 29 *πρὸ τῆς ἐπικεφαλίδος* + ΙΔ' *τὸ χειρόγραφον* Q

πανδαισίᾳ προτιθεῖσα τὰς διαφόρους τῶν θαυμασίων ὑποτυπώσεις καὶ πνευματικῶς κατευφραίνουσα καὶ πρὸς οὐρανὸν ἕλκουσα, ὅθεν καὶ τὴν χάριν τούτων ἀντείληφε τῆς ἐνθέου βιοτῆς ὁ συγκαλέσας καὶ τῆς ἀθλήσεως. Ἔχει δὲ οὕτως].

Χαλεπὸς ἦν εἰσαῦθις ὁ τότε καιρός, χειμῶνα δεινὸν ἐπισείσας ταῖς πόλεσι καὶ χειμῶνα πολέμων ἐμφυλίων καὶ στάσεων, σχεδὸν ἁπασῶν κατ᾿ ἀλλήλων ἐγειρομένων τῶν πόλεων καὶ εἰς ἐμφυλίους πολέμους συρρηγνυμένων· τοῖς ἑσπερίοις δὲ καὶ μᾶλλον κλίμασιν ἐπεπόλασε τὸ κακόν. Τοῦτο Θρᾳκῶν καὶ Μακεδόνων τὰς πόλεις ἐπινεμόμενον, ἐπολιόρκει τοὺς ἐνοικοῦντας καὶ ἀπόρους ἐξ εὐπόρων καθίστη τοὺς πλείστους αὐτῶν. Τοῦτο δὲ τὸ λυπρὸν τῶν στάσεων ὅρμημα, ὁδῷ προϊὸν ἀγχοῦ που καὶ τῆς τῶν Θεσσαλονικέων καὶ ἡμετέρας ἐγένετο. Ναὶ μὴν καὶ κατ᾿ αὐτὴν τὴν πόλιν ὠδίνετο συγκλύδων καὶ ἀναγώγων ἀνδρῶν πειρωμένων ἀνασείειν αὐτὴν καὶ τὰς τῶν εὐπόρων οὐσίας ἀλόγως οὕτω καὶ αὐτονόμως ἀμφοτέραις ἀντλεῖν. Καὶ ταῦτα τίνες; οἱ κηφῆνες τῷ ὄντι καὶ ἀπορώτατοι καὶ πρὸς τὰ συνήθως τούτοις ἑπόμενα χωρεῖν ἑτοιμότατοι, πολέμους ἐμφυλίους φημὶ καὶ σφαγὰς τῶν ὅσοις παρασταίη ἀντιποιεῖσθαι τῶν διαφερόντων αὐτοῖς καὶ ἀντέχεσθαι. Ὑπετόπαζεν οὖν ἅπας ἀπὸ τοῦδε καὶ προεώρα ἀγχίθυρον ὅσαι ὧραι τὴν ἐπανάστασιν. Καὶ οἱ μὲν πρὸς ἄμυναν ηὐτρεπίζοντο, ὅσοις μηδὲν ἐπίπροσθεν ἦν τῶν περιπεζίων καὶ χαμερπῶν, μηδὲ μέγα τι ψυχῇ, ἧς οὐδόλως ὁ κόσμος ἀντάξιος· οἱ δὲ τάφοις καὶ φρέασι τὰ τιμαλφέστατα τῶν προσόντων κατωρωρύχεισαν· ἄλλοις ἡδίων ἡ μετανάστασις τῆς πατρίδος ἐδόκει καὶ ἡ φυγὴ προμηθουμένοις ταύτῃ διαδρᾶναι τὸν ὑφορώμενον κίνδυνον. Τὸ δ᾿ εὐσεβὲς μέρος τῆς πόλεως καὶ πείρᾳ τοῦ ἁγίου μεμυημένον τῆς ἀντιλήψεως προσφεύγουσιν ὡς αὐτόν, καθικετεύουσι δάκρυσι καὶ εὐχαῖς κατευνάσαι τὸ προσδοκώμενον.

21. Καὶ οἱ μὲν οὕτως· θέα ⟨δὲ⟩ δή μοι καὶ τοῦ ἁγίου τὸ προμηθὲς καὶ οἷος ἐκεῖνος ταχὺς ἱκεσίαν εἰσδέξασθαι, οἰκτειρῆσαι πόλιν, εὐθετῆσαι λογισμοὺς λαῶν, κατευνάσαι θροῦν ἐγειρόμενον καὶ εἰς εὐταξίαν τὰ τῆς ἀταξίας διασκευάσαι.

Ἐπιφαίνεται γάρ τινι τῶν προσεδρευόντων τῷ ἱερῷ τούτου καὶ θείῳ νεὼ εὐλαβείᾳ καὶ ἀρετῇ τῶν ἄλλων προέχοντι, ἐναργέστερον δὲ ἢ κατ᾿ ὄνειρον, ὡς αὐτὸς ὁ θεασάμενος διετείνετο. Ἔφη γὰρ περὶ τὸ ἱερὸν κιβώριον τεθεᾶσθαι αὐτὸν γυναίῳ τινὶ πάνυ αἰδεσίμῳ καὶ εὐσταλεῖ σπουδαίως προσομιλοῦντα· τὴν δὲ ὁμιλίαν εἶναι πρεσβείαν θερμὴν καὶ ἀξίωσιν, κυρίαν Εὐταξίαν τὴν ὁρωμένην ἀποκαλοῦντα καὶ σπουδαίως πάνυ λιταζόμενον τὴν πόλιν μὴ προλιπεῖν ἐν οὕτω κινδυνώδει καὶ ἀπίστῳ καιρῷ, παραμένειν δέ γε ταύτῃ

1 τὰς corr.] τοὺς B: τὸ Q 1-4 τὸ χωρίον τοῦτο μοῦ φαίνεται ὅτι προσετέθη βραδύτερον 5 τότε B: τε Q | ἐπισείσας Q: ἐπομβρήσας B 10 δὲ Q: δὴ B 15 τὰ Q: τὰς B 32 κιβούριον B 33 σπουδαῖος Q

μᾶλλον καὶ τῆς οἰκείας προνοίας ἢ ἐπωνυμίας εἰπεῖν οἰκειότερον μεταδιδόναι· ἐκείνης δῆθεν ἀπαίρειν ἤδη καὶ μάλα ἐπειγομένης, δόξαι τε οὕτω πεισθῆναι καὶ ⟨συγ⟩καταθέσθαι τῷ θερμῷ τῆς πρεσβείας δυσωπηθεῖσαν. Τουτὶ δὲ τὸ ὅραμα αὐτὸς ἐκεῖνος τῆς ὀπτασίας συναγαγὼν ἑαυτόν, ἄριστα διακρίνας καὶ συμβαλών, ἅπασιν ἐξηγεῖτο καὶ ἔπειθεν ἀποκάλυψιν ἐναργῆ ταῦτα εἶναι τῆς προμηθείας τοῦ μάρτυρος, ἐξωθοῦντος μὲν τῆς πόλεως τὴν προσδοκωμένην ἀταξίαν καὶ σύγχυσιν, ἐγκαθιστῶντος δὲ τὴν κυρίαν Εὐταξίαν ταύτῃ καὶ ἐφιζάνοντος.

22. Ταῦτα μὲν οὖν ὁ διορατικώτατος ἐκεῖνος ἀνήρ· ἡ δ' ἔκτοτε τῇ πόλει προσγενομένη εὐταξία καὶ ἡσυχία βαθεῖα αὐτοῖς ἔργοις τοὺς λόγους τοῦ ἀνδρὸς ἐπεσφράγισε, πείσασα ἅπαντας ὡς ἀοράτως ὁ μάρτυς ἀείποτε προμηθεῖται τῆς πόλεως, εἴργων μὲν τὰ δεινὰ καὶ ἀποκρουόμενος ἥκοντα, ἀντεισφέρων δὲ τὰ λυσιτελῆ καὶ σωτήρια καὶ μάλισθ' ὅταν ὁρώῃ τῶν ἐνοικούντων τὰ πλήθη διὰ βίου καὶ πολιτείας ὀρθῆς πρὸς αὐτὸν καὶ τὸ θεῖον ἀνατεινόμενα.

Τηλικούτοις τροφείοις, τοιαύταις ταῖς ἀμοιβαῖς ὁ θεῖος μάρτυς τὸ φίλον ἔδαφος, τὴν πατρίδα τιμᾷ· τιμήσει δὲ καὶ ἔτι καὶ ἰσχύσει πρεσβεύων ὑπὲρ ἡμῶν, εἴπερ καὶ ἡμεῖς τῶν αὐτοῦ διδαχῶν κατακούοιμεν, δι' ἡμᾶς γὰρ ἐγράφη, καὶ τὸν ἐκείνου βίον καὶ τρόπον ὁλοσχερῶς ἐκμιμώμεθα. Χαίρει γὰρ ἐπὶ τούτῳ μᾶλλον καὶ γέγηθεν ἢ ἐπὶ ταῖς ἐγκοσμίοις καὶ ἐκ βασιλέων τιμαῖς, ὅτι μηδὲ παρ' ἐκείνοις φοιτᾶν αἰτουμένοις, ἡμῖν δὲ προσμένειν εἰς ἀεὶ ᾑρετίσατο.

[Περὶ τῆς αἰτήσεως τῶν λειψάνων τοῦ μάρτυρος]

23. Μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὸ κατὰ συνέχειαν θαῦμα συγγεγραμμένον, ὅτι τῇ ἐκμιμήσει μᾶλλον ἡμῶν οἱ θεῖοι μάρτυρες χαίρουσι τῆς σφῶν ἀρετῆς ἢ ταῖς ἰδίαις τιμαῖς τε καὶ ἀναρρήσεσιν.᾿Αλλὰ προσεκτέον τῷ θαύματι.

Παρέστη ποτὲ καὶ ἤρεσεν Ἰουστινιανῷ τῷ μεγάλῳ καὶ ἀοιδίμῳ ἐν βασιλεῦσιν, ἀοίδιμον δὲ τοῦτον πλέον τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐναπέδειξεν ἡ τῶν ἁπανταχοῦ γῆς ἀνέγερσις θείων καὶ σεβασμίων σηκῶν, ἁπάντων δὲ μάλιστα τοῦ ἐν Κωνσταντινουπόλει δομηθέντος αὐτῷ ἐπ' ὀνόματι τῆς ἐνυποστάτου τοῦ θεοῦ Λόγου σοφίας, ἔργου τῷ ὄντι θεουργοῦ καὶ ἀμιμήτου καὶ τὰ ἀπ' αἰῶνος ἅπαντα ἀποκρύψαντος. Τῷ ἀοιδίμῳ τοίνυν τούτῳ βασιλεῖ ἀκουτισθέντι ὡς μαρτυρικῶν λειψάνων περιουσίᾳ πλουτίζεται ἡ τῶν Θεσσαλονικέων καὶ καθ' ἡμᾶς, κελεύει τῷ τηνικαῦτα ἱεραρχοῦντι ταύτης μέρος τι τῶν λειψάνων τοῦ χριστοφόρου μάρτυρος Δημητρίου εἰς ἁγιασμὸν αὐτῷ ἐξαποστεῖλαι ψυχῆς, ἀφ' ὧν καὶ οἱ τῶν ἰαματοφόρων μύρων ἀέναοι ποταμοὶ πηγάζουσιν. Ὁ δὲ τῷ βασιλέως εἴκων κελεύσματι καὶ τῆς παρακοῆς τὸν κίνδυνον

3 συγκαταθέσθαι corr. | καταθέσθαι QB 5-6 ταῦτ' εἶναι B 9 ἀνὴρ om. B 13 ὁρώῃ τῶν Q: ὁρώντων B 15 τροφαίοις Q 19 ἐγκομίοις Q 21 *πρὸ τῆς ἐπικεφαλίδος* + ΙΕ' *τὸ χειρόγραφον* Q 28 τοῦ om. Q 34 ποταμοὶ πηγάζουσιν ∾ B

ἐκκρουόμενος, ἀνορύσσειν τὸ ἔδαφος προὔθετο, μηδὲ τῆς πάλαι πρὸς Λεόντιον Ἔπαρχον γεγενημένης ἐπιμνησθεὶς πρὸς τοῦ ἁγίου ὀμφῆς, ἐξείργοντος τῆς ἴσης καὶ ὁμοίας κἀκεῖνον ὁρμῆς, καί τοι γε αὐτὸν ὄντα τὸν πίστει θερμῇ τὸν περικαλλῆ τόνδε καὶ οὐράνιον ναὸν αὐτῷ ἀνεγείραντα, εὐχαριστήριον τῆς ἰάσεως. Εὐωνύμως δὲ καὶ ἐκ διαστήματος τῆς σεβασμίας σοροῦ τοῦ ὀρύγματος ἀπαρξάμενος, ὡς ἂν ὑποβρυχίου τῆς ὀπῆς καὶ οἷον ἐκ πλευρᾶς γενομένης, μήτ' ἀνακαλυφθείη τὰ νόμῳ φύσεως ἡλίῳ ἀθέατα, μήτε μὴν τὸ τῆς ἐπιφανείας εὔκοσμον διαλωβηθείη τοῦ τεχνουργήματος, ὃ κιβώριον ἡ συνήθεια οἶδεν ἀποκαλεῖν. Ἐφ' ἱκανὸν δὲ τοῦ ὀρύγματος προχωρήσαντος, ὡς ἤδη τῇ μαρτυρικῇ καὶ θεοτιμήτῳ σορῷ προσήγγισαν, οἵ τ' ἐργαζόμενοι καὶ οἱ εὐχαῖς καὶ λαμπάσι τὸν θεὸν καὶ τὸν ἅγιον ἱλασκόμενοι ἐπιδοῦναί τι μέρος τῶν ἑαυτοῦ λειψάνων τὴν βασιλέως πίστιν πληροφοροῦν, πῦρ ἀθρόον φωτοβολοῦν περὶ τὴν τιμίαν καθωράθη σορὸν καὶ φλὸξ ἐκεῖθεν ἐξαλλομένη κατὰ στόμα τούτοις προσυπαντᾷ, περαιτέρω προβῆναι ἐξείργουσα, φωνή τε ἐκ τοῦ πυρὸς τὸ ἐξαίσιον καὶ τεραστικὸν διηχηθεῖσα, τρανῶς ἔφη 'παύσασθε περαιτέρω πειράζοντες'. Ἀφ' ὧν ἄρδην καταπλαγέντες τῷ ἐδάφει τὰς ὄψεις συνέμιξαν· δάκρυσι δὲ καὶ εὐχαῖς τὸ τόλμημα ἐξιλεωσάμενοι, ὑπήκουσαν τῷ κελεύσματι, χοῦν δὲ μόνον ἐκεῖθεν λαβόντες, εἰς ἁγιασμὸν ἅτε δὴ καὶ τοῦτον πιστεύσαντες ἔσεσθαι, ὡς ἁγιασθέντα τῷ ἀγαθῷ γειτονήματι τῆς ἁγίας καὶ ἁγιαστικῆς τῶν λειψάνων σοροῦ, περιδεεῖς ἀνῄεσαν καὶ κατάφοβοι, πείρᾳ καὶ ἄλλους τῶν ἀψαύστων διδάσκοντες μὴ κατατολμᾶν· ὃν δὴ τίμιον χοῦν τῷ ἱερῷ σκευοφυλακίῳ θησαυρισάμενοι, μέρος τι τούτου καὶ τῷ βασιλεῖ εἰς ἁγιασμὸν ἐξαπέστειλαν, τὰ συμβάντα καὶ εἰρημένα σημάναντες.

Τοῦτο δὴ τὸ παράδοξον καὶ ὁ βραχὺ μετ' ἐκεῖνον ἐπ' εὐσεβείᾳ βασιλεύσας Μαυρίκιος δι' ἐπιστολῆς Θεοδοσίου τοῦ τηνικαῦτα ἱεραρχοῦντος ἀναμαθών, ἀπέσχετο τῆς τῶν λειψάνων τοῦ ἀθλοφόρου αἰτήσεως καί τοι γε πολὺς ὢν ζεούσῃ πίστει περὶ τὴν τούτων ἐξαίτησιν. Τοῦ χοὸς δὲ μέρος ἀντὶ λειψάνου δεξάμενος καὶ αὐτὸς τῆς ἐφέσεως ⟨ἀπ⟩έστη καὶ τῷ ἁγίῳ προσφόρως τὴν εὐχαριστίαν ἀπέδωκεν.

24. Δέδειχε τοίνυν ἐντεῦθεν πραγματικῶς ὁ μέγας τοῦ Χριστοῦ μάρτυς, ὡς τοῦ μηδενὸς τιμᾶται τὰς παρὰ βασιλέως τιμάς, ἀλλ' ὥσπερ ζῶν καὶ τὸν περίγειον τουτονὶ χῶρον περιπολῶν ταύτας ὡς ψευδομένας διέπτυσσε τοῖς προσέχουσιν, οὕτω καὶ μεταχωρήσας τῶν τῇδε καὶ τῶν ἀκηράτων καὶ αἰωνίων ἐπιτυχὼν ἀποπέμπεται, ἵνα καὶ ἡμῖν αὐτοῖς ἔργοις διδάσκαλος, ὥσπερ λόγοις τὸ πρότερον καταστῇ, μὴ πρὸς τὰς τῶν ὁμογενῶν κεχηνέναι τὰς ἀπατηλὰς καὶ ῥεούσας, πρὸς τὴν ἀληθῆ δὲ καὶ ἄνω καὶ παρὰ τοῦ μόνου προσνε-

2 Ἔπαρχον corr.] Ὕπαρχον QB 6 γινομένης Q 8 κιβούριον B 9 ἀποκαλεῖν Q: ἐπικαλεῖν B 18 κελεύσαντι B 23 συμβεβηκότα B 28 ⟨ἀπ⟩έστη corr.] ἔστη QB 31 παρὰ + τοῦ B 32 διέπτυσσε Q: διέπεισε B

μομένην Θεοῦ· μηδέ τι μέγα οἴεσθαι τὸ κενὸν τουτὶ δοξάριον καὶ τὸν διαρρέοντα πλοῦτον, ἅπερ οἱ θνητοὶ τοῖς θνητοῖς θνητὰ χαρίζονται πράγματα πρὸς μόνα δὲ τὰ μένοντα καὶ αἰώνια διανατείνεσθαι, κἀκείνων ἐφίεσθαι καὶ σπεύδειν, ὥσπερ οἱ μάρτυρες ἐκείνων τυχεῖν διὰ τῆς αὐτῶν ἐκμιμήσεως· ὁ δὲ μάρτυρα ἐκμιμούμενος, οὐδενὸς τῶν εἰς ἀρετὴν ἡκόντων ἀπολειφθήσεται. Ταύτης δὲ κατορθουμένης καὶ τὰ γέρα τῶν μαρτύρων τοῖς κατορθοῦσιν ἐφέπεται καὶ ἡ σὺν αὐτοῖς μῖξις καὶ μακαρία κατάπαυσις, ἧς οὐδὲν τιμαλφέστερον τοῖς γε νοῦν ἔχουσι καὶ ποσῶς τῶν θείων ἐπησθημένοις, ὧν δὴ καὶ ὁ ἡμέτερος πολιοῦχος καὶ μάρτυς ὑφηγητὴς ἀεὶ καθίσταται καὶ διδάσκαλος καὶ οὐδέποτε τῆς διδασκαλίας ἐκστήσεται, ἕως ἂν τοῖς αὐτοῦ ἔργοις καὶ λόγοις προσέχειν ἐθέλωμεν.

[Περὶ τοῦ ἐμπρησμοῦ τοῦ κιβωρίου καὶ τῆς δι' αὐτοῦ τῶν βαρβάρων διώξεως]

25. Ἄξιον δὲ μηδὲ τὰ ἐν θαύμασι θαύματα καὶ πέρα θαυμάτων σιωπῇ παρελθεῖν, ὅσα φιλοτιμότερόν πως καὶ οἰκειότερον περὶ τὸν σεβάσμιον αὐτοῦ καὶ ἰαματοφόρον σηκὸν ὁ ἀθλοφόρος εἰργάσατο, περὶ αὐτὸ γὰρ τῆς χαρμονῆς ζημιώσομεν τὸ κεφάλαιον, τήν τε πατρίδα καὶ τὴν πανήγυριν, εἰ τὰ διαφερόντως σεμνὰ σιωπῇ τιμησόμεθα· ὑπερφυῆ μὲν γὰρ ἅπαντα καὶ λόγου κρείττω, ἐπεὶ καὶ ὁ διὰ τούτων ὑμνούμενος, ἀλλ' ἴσμεν αὐτὸν φιλανθρωπίᾳ καὶ τὰ παρ' ἀξίαν μὴ ἀποσείεσθαι, εἴ γε κατὰ δύναμιν εἶναι τὴν ἡμετέραν, ἀφ' ἧς καὶ τὸ ζέον τῆς πίστεως ταλαντεύεται. Οὐκοῦν καὶ περὶ τούτων διαληπτέον μὴ τῇ ἀσθενείᾳ τοῦ λόγου, τῷ μεγέθει δὲ τῶν θαυμάτων προσέχοντας.

Ἀεὶ μὲν ὁ κοινὸς τοῦ γένους ἐχθρὸς τῷ τοῦ φθόνου κέντρῳ νυττόμενος, οἷς νενίκηται κονισάμενος πρὸς τὸν μάρτυρα, οἷς οἶδεν ἀθανάτοις στεφανωθέντα χαρίσμασιν, ὧν αὐτὸς διαπέπτωκεν ἀϊδίως καὶ πολεμεῖν καὶ ἐπιβουλεύειν οὐ παύεται. Ἐπειδὴ δὲ μὴ πρὸς αὐτὸν ἰσχύει ἀντοφθαλμεῖν τὸν διαφθονούμενον, πατήσαντα ἤδη τῇ νίκῃ τὴν αὐτοῦ κεφαλὴν καὶ ὑπὲρ τὸ σῶμα γενόμενον, ὅπερ ὑπὲρ ἡμῶν γεγενημένον καθ' ἡμῶν ἐκεῖνος δολερῶς ἀποκέχρηται, ἂν μὴ νήφωμεν κατὰ τῆς αὐτοῦ πόλεως καὶ τοῦ σεβασμίου αὐτοῦ ναοῦ καὶ τῆς ἀνακειμένης αὐτῷ πρὸς θεοῦ ποίμνης, κινεῖ τὰς ἐπιβουλὰς καὶ ταῖς μεθοδείαις ἐπιστρατεύει, εἰ καὶ περιτρέπει ταύτας ὁ θεῖος μάρτυς περιουσίᾳ δυνάμενος ἐπὶ τὴν αὐτοῦ κεφαλήν. Οἷα δὲ τὰ τοῦ ἐχθροῦ μηχανήματα καὶ οἷα τὰ τοῦ ἁγίου θαυματουργήματα προσέχοντες ἐνωτίσασθε.

26. Τὸ τῶν Σκλαβηνῶν ἔθνος, Ἴστρου δὲ τοῦτο τὴν περὶ τὰς ὄχθας τοῦ ποταμοῦ νέμεται γῆν, πλήθει τε πλεῖστον καὶ ἠθῶν ἀγριότητι, ἄσπονδον

1 μηδέ τι B: μηδ' ἔτι Q 3 διατείνεσθαι B 12 *πρὸ τῆς ἐπικεφαλίδος* + IϚ *τὸ χειρόγραφον* Q 13 *παραπλεύρως εἰς τὸ περιθώριον ἀναγινώσκομεν ἐν* Q: ἐσφαλμένον τοῦτο εἰς τὸ ἀντίβολον, ὧδε δέ ἐστι σῶον· *πβλ. τὰ λεχθέντα ἀνωτέρω σελ. 325* 21 προσέχοντας corr.] προσέχοντες QB 23 εἶδεν Q

καὶ ἀτίθασσον. Τοῦτο ἀπροόπτως καὶ πάσης αἰτίας δήλης χωρὶς μόνῳ τῷ ἐχθρῷ στρατηγούμενον καταστρατεύει τῆς πόλεως. Λάθρᾳ δὲ καὶ ἀσυμφανῶς ἐπῆγε τὴν στρατείαν λήσειν οἰόμενον καὶ ἀθρόον ἀνεπαισθήτως ταύτην ἑλεῖν ὡς ἀφύλακτον. Βαρεῖαν δὲ ἄγων καὶ ἀριθμοῦ κρείττω τὴν στρατιὰν καὶ πᾶν εἶδος ἔχουσαν μετὰ χεῖρας πολεμικῶν, πρὸ ὀλίγων σταδίων τῆς πόλεως κατεστρατοπέδευσεν, ὅσον τὴν ἀποσκοπὴν ἀποκρούσασθαι καὶ διασκεδάσαι τὴν ἐπιχείρησιν.

27. Τοιοῦτος ὁ τοῦ ἐχθροῦ λόχος τὸ ἔξωθεν. Ἄθρει δὴ κατὰ ταὐτὸν καὶ τὸν τῆς πόλεως ἔνδοθεν. Καὶ γὰρ ἐν αὐτῷ τῷ τοῦ ἁγίου νεῴ ἐμπρησθῆναι τὸ ἱερὸν ἐξ ἀργύρου κιβώριον ἐτεχνάσατο δυοῖν ἕνεκεν ὁ παμπόνηρος· ἑνὸς μέν, ὥστε καὶ τὴν σεβασμίαν καὶ ἰαματοφόρον κατακαῆναι σορὸν τοῦ μάρτυρος, ἑτέρως δέ, ἵνα τῇ περὶ τὸν ἐμπρησμὸν ἀσχολίᾳ τῶν ἐνοικούντων B|
